UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Scholia graeca in Aristophanem

### Dübner, Friedrich

### Parisiis, 1842

Σφῆκες

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5255

Visual Library

# ΣΦΗΚΕΣ.

## ΥΠΟΘΕΣΕΙΣ.

### I.

Φιλοκλέων Ἀθηναῖος φιλόδικος ὢν τὴν φύσιν ἐφοίτα περὶ τὰ δικαστήρια συνεχῶς. Βδελυκλέων δὲ ὁ τούτου παῖς ἀχθόμενος ταύτῃ τῇ νόσῳ καὶ πειρώμενος τὸν πατέρα παύειν, ἐγκαθείρξας τοῖς οἴκοις καὶ δίκτυα περιβαλὼν ἐφύλαττε νύκτωρ καὶ μεθ' ἡμέραν. ὁ δὲ ἐξόδου αὐτῷ μὴ προκειμένης ἔκραζεν. οἱ δὲ συνδικασταὶ αὐτοῦ σφηξὶν ἑαυτοὺς ἀφομοιώσαντες παρεγένοντο, βουλόμενοι διὰ ταύτης τῆς τέχνης ὑποκλέπτειν τὸν συνδικαστήν· ἐξ ὧν καὶ ὁ χορὸς συνέστηκε καὶ τὸ δρᾶμα ἐπιγέγραπται. ἀλλ' οὐδὲν ἤνυον οὐδὲ οὗτοι. πέρας δὲ τοῦ νεανίσκου θαυμάζοντος τίνος ἕνεκα ὁ πατὴρ οὕτως ἥττηται τοῦ πράγματος, ἔφη ὁ πρεσβύτης τὸ πρᾶγμα εἶναι σπουδαῖον καὶ σχεδὸν ἀρχῆς τὸ δικάζειν. ὁ δὲ παῖς ἐπειρᾶτο τὰς ὑποψίας ἐξαιρεῖν τοῦ πράγματος, νουθετῶν τὸν γέροντα. ὁ δὲ πρεσβύτης μηδαμῶς νουθετούμενος οὐ μεθίει τοῦ πάθους· ἀλλ' ἀναγκάζεται ὁ νέος ἐπιτρέπειν αὐτῷ φιλοδικεῖν, καὶ ἐπὶ τῆς οἰκίας τοῦτο ποιεῖ, καὶ τοῖς κατὰ τὴν οἰκίαν δικάζει. καὶ δύο κύνες ἐπεισάγονται πολιτικῶς παρ' αὐτῷ κρινόμενοι· καὶ κατὰ τοῦ φεύγοντος ἐκφέρειν συνεχῶς τὴν ψῆφον μέλλων ἀπατηθεὶς ἄκων τὴν ἀποδικάζουσαν φέρει ψῆφον. περιέχει δὲ καὶ δικαιολογίαν τινὰ τοῦ χοροῦ ἐκ τοῦ ποιητικοῦ προσώπου, ὡς σφηξὶν ἐμφερεῖς εἰσὶν οἱ τοῦ χοροῦ, ἐξ ὧν καὶ τὸ δρᾶμα. οἳ ὅτε μὲν ἦσαν νέοι, πικρῶς ταῖς δίκαις ἐφήδρευον, ἐπεὶ δὲ γέροντες γεγόνασι, κεντοῦσι τοῖς κέντροις. ἐπὶ τέλει δὲ τοῦ δράματος ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται, καὶ ἐπὶ ὕβριν τρέπεται, καὶ κρίνει αὐτὸν ὕβρεως ἀρτόπωλις· ὁ δὲ γέρων πρὸς αὐλὸν καὶ ὄρχησιν τρέπεται, καὶ γελωτοποιεῖ τὸ δρᾶμα.

Τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ οὐκ ἐξ ὑποκειμένης ὑποθέσεως, ἀλλ' ὡσανεὶ γενομένης. πέπλασται γὰρ τὸ ὅλον. διαβάλλει δὲ Ἀθηναίους ὡς φιλοδικοῦντας, καὶ σωφρονίζει τὸν δῆμον ἀποστῆναι τῶν δικῶν, καὶ διά τοι τοῦτο καὶ τοὺς δικαστὰς σφηξὶν ἀπεικάζει κέντρα ἔχουσι καὶ πλήττουσι. πεποίηται δ' αὐτῷ χαριέντως. ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμεινίου διὰ Φιλωνίδου ἐν τῇ πθ' ὀλυμπιάδι. δεύτερος ἦν, εἰς Λήναια. καὶ ἐνίκα πρῶτος Φιλωνίδης Προαγῶνι, Λεύκων Πρέσβεσι τρίτος.

### II.

### ΑΡΙΣΤΟΦΑΝΟΥΣ

#### ΓΡΑΜΜΑΤΙΚΟΥ.

Φιλοῦντα δικάζειν πατέρα παῖς εἴρξας ἄφνω
αὐτός τ' ἐφύλαττεν ἔνδον οἰκέται θ', ὅπως
μὴ λανθάνῃ μηδ' ἐξίῃ διὰ τὴν νόσον.
ὁ δ' ἀντιμάχεται παντὶ τρόπῳ καὶ μηχανῇ.
εἶθ' οἱ συνήθεις καὶ γέροντες, λεγόμενοι
σφῆκες, παραγίνονται βοηθοῦντες σφόδρα
ἐπὶ τῷ δύνασθαι κέντρον ἐνιέναι τισὶ
φρονοῦντες ἱκανόν. ὁ δὲ γέρων τηρούμενος
συμπείθετ' ἔνδον διαδικάζειν καὶ βιοῦν,
ἐπεὶ τὸ δικάζειν κέκρικεν ἐκ παντὸς τρόπου.

## SCHOLIA IN VESPAS.

1. (Οὗτος τί πάσχεις : Προλογίζουσι δύο οἰκέται, ἀποδυσπετοῦντες πρὸς τὴν φυλακὴν τοῦ γέροντος δεσπότου. Ἄλλως. κατ' ἀρχὴν στίχοι ἴαμβοι τρίμετροι ἀκατάληκτοι σκθ', ὧν τελευταῖος

πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.)

2. φυλακὴν καταλύειν : (Οὕτω λέγουσι τὸ ἀποκοιμηθῆναι ἐπὶ τῆς φυλακῆς, φυλακὴν καταλύειν νυκτερινήν, ἤγουν καταλιπεῖν τὴν τάξιν βούλομαι. Ἄλλως. ἀντὶ τοῦ μελετῶ καθεύδειν, οἷον νυστάζω.) — χαριεντιζόμενος ἀντὶ τοῦ φυλάσσειν τοῦτό φησι, παρόσον οὐ διαγρυπνεῖν δύναται. Σύμμαχός φησιν, οὕτως οἶμαι λέγειν τὸ ἀποκοιμᾶσθαι ἐπὶ τῆς φυλακῆς, καταλιπεῖν τὴν τάξιν. διδάσκομαι δὲ ἀντὶ τοῦ μελετῶ καθεύδειν, νυστάζω. R.

3. προὔφειλες : (Οὐδὲν ἄλλο ἐκ τοῦ προὔφειλες ἐκδεκτέον ἢ μόνον τὸ ὤφειλες. ἐχρεώστεις τι μέγα κακὸν ταῖς πλευραῖς σου καὶ θέλεις αὐτὸ ἀποδοῦναι.) — προὔφειλες ταῖς πλευραῖς κακὸν μέγα, ὅπερ ἀποδώσεις μαστιγωθεὶς δηλονότι. R.

4. (κνώδαλον : Κυρίως ἐπὶ τοῦ θαλαττίου θηρίου. εἴρηται δὲ καὶ ἐπὶ τοῦ χερσαίου κνώδαλον, παρὰ τὸ κυσὶν ἁλίσκεσθαι.)

5. ἀπομεριμνηρίσαι : μέρμηρα ἡ μέριμνα καὶ ἡ φροντὶς καὶ ὁ πρὸς ἕω ὕπνος. (ἐκ δὲ τούτου τὸ καθευδῆσαι. οἱ

γὰρ καθεύδοντες ἀποτίθενται τὰς μερίμνας. καὶ πρὸς τὸν ὄρθρον δὲ γίνεταί τις ὕπνος ἐν ταῖς ἐπιστάσεσιν ἐλαφρὸς, ὃν τούτῳ τῷ ὀνόματι καλοῦσι.)

6. (παρακινδύνευε : Παρ' ὑπόνοιαν εἶπε. δέον εἰπεῖν κατακοιμῶ, εἶπε παρακινδύνευε. ἐπεὶ ἤμελλε μαστίζεσθαι, ἐὰν κοιμηθῇ, ἐκ τοῦ ἑπομένου εἶπε τὸ προηγούμενον.)

8. (κορυβαντιᾷς : Μαίνῃ. παρόσον οὗτοι οἱ δαίμονες μανίας καὶ ἐκθειασμοῦ εἰσιν ἐμποιητικοί. ὀνειδίζει δὲ καὶ οὗτος αὐτῷ οἷς ἐλοιδορεῖτο αὐτὸν, φάσκων κινδυνεύειν ὕπνῳ περιπεσόντι.)

9. ἐκ Σαβαζίου : Πρὸς τὸ κορυβαντιᾷς εἶπε τὸ Σαβαζίου. ἐκεῖνος δὲ ἐπεὶ παραφρονεῖς συμβουλεύων κοιμᾶσθαι. — κορυβαντιᾶν τὸ Κορύβασι κατέχεσθαι. τελετὴ δέ τις ἦν τῶν Κορυβάντων. ἔνιοι δὲ ὅτι ἀπὸ τῶν δακρύων τοῦ Διὸς ἐγένοντο. πάντες ὁμολογοῦσι τῆς Ῥέας μὲν ὀπαδοὺς αὐτοὺς γενονέναι, φύλακας δὲ τοῦ Διός. R. (Σαβάζιον δὲ τὸν Διόνυσον οἱ Θρᾷκες καλοῦσι, καὶ Σαβοὺς τοὺς ἱεροὺς αὐτῶν. παίζει δὲ, ὡσεὶ ἔλεγε, βάρβαρός τις καὶ σκληρὸς ὕπνος. βουκολεῖς δὲ τρέφεις.)

12. Μῆδός τις : Ἢ πρὸς τὸ Σαβάζιος εἶπε καὶ οὗτος τὸ Μῆδος. ἢ ἀντὶ τοῦ ἐχθρὸς, ἐπεὶ καὶ ἐστρατεύσατο εἶπε· πολέμιοι γὰρ Ἕλλησιν οὗτοι.

13. ἐπίχαλκον : Τὴν ἔξωθεν χαλκῆν. τοῦτο δὲ προσέθηκε διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸ ἑρπετόν. δοκεῖ δέ μοι τὴν ἀσπίδα τὸ ὅπλον ἀπὸ τοῦ τοιούτου ὠνομάσθαι ζῴου, διὰ τὸ εἰς κύκλους πολλοὺς ἑλισσόμενον καθεύδειν. κυκλικαὶ γὰρ ἦσαν αἱ ἀσπίδες τῶν παλαιῶν, ὡς Αἰσχύλος [Sept. 495]

ἅλω δὲ πολλὴν ἀσπίδος κύκλον λέγω,
ἔφριξα δινήσαντος.

οὕτω δὲ τὸ ζῷον ὠνόμασται ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου, καὶ τοῦ σπίζω τὸ ἐκτείνω, διὰ τὸν ὀξὺν αὐτοῦ συριγμόν. ἢ διὰ τὸ τοῦ σώματος αὐτοῦ μῆκος. ἀνεκὰς δὲ ἀντὶ τοῦ ἄνω πάνυ ἑκὰς καὶ εἰς ὕψος.

19. ἀποβαλεῖν Κλεώνυμον : Μετὰ τῶν ἄλλων εἰς ἃ κωμῳδεῖται δειλὸς λέγεται καὶ ῥίψασπις εἶναι. (παρ' ὑπόνοιαν δὲ κωμῳδεῖ αὐτόν.)

(20. οὐδὲν ἄρα γρίφου : Ἀντὶ τοῦ παροινίου ζητήματος. οἷον, δύναταί τις γρῖφον ποιῆσαι καὶ ἀπὸ τῶν Κλεωνύμου πράξεων. ἑπτὰ δὲ ἀναγράφει αὐτῶν γένη ὁ Κλέαρχος ἐν τῷ περὶ γρίφων συντάγματι. γρῖφοι δὲ λέγεται τὰ ἐν τοῖς συμποσίοις προβαλλόμενα αἰνιγματώδη ζητήματα.)

21. (τοῖς συμπόταις : Ἐν γὰρ τοῖς συμποσίοις προεβάλλοντο οἱ γρῖφοι πρὸς λύσιν.)

22. (ὅτι ταυτόν : Ἐν τῷ ὅτι περιττεύει τὸ ο Ἀττικῶς. τὸ γὰρ σημαινόμενον ἀντὶ τοῦ τί ταυτὸν ἐν γῇ ἐν ἐρωτήσει. καὶ ἔστιν ὁ λόγος οὕτως· τί τὸ αὐτὸ θηρίον ἐν παντὶ τόπῳ δυστυχεῖ περὶ τὰ πολεμικὰ, καὶ ἐν γῇ καὶ ἐν ναυμαχίᾳ; θηρίον δὲ ὁ ἀετὸς πανταχοῦ περιιπτάμενος, ᾧ παραβάλλει τὸν Κλεώνυμον.) — ὅτι ταυτὸν ἐν γῇ. παρόσον ὁ ἀετὸς διὰ τοῦ ἀέρος πέτεται καὶ διὰ τῆς θαλάττης καὶ ἐπὶ τῆς γῆς. R.

θηρίον τὴν ἀσπίδα : Οὐκ ἀπεικότως θηρίον αὐτὸν εἶπεν, ἐπεὶ μακρὸς καὶ ἄρρυθμος ὁ Κλεώνυμος.

27. δεινὸν γὰρ τὸ ὄναρ ἐστὶ τὸ ῥίψασπι, δεινὸν δὲ καὶ τὸ ῥῖψαι τὴν ἀσπίδα πρᾶγμα. πρὸς ἑκάτερον πέπαιχεν. R. (δεινόν γέ που 'στ' ἄνθρωπος : Τοῦτό φησιν· οἶδα ὅτι δεινὸν πρᾶγμα ἰδεῖν ἄνθρωπον ἀποβαλεῖν τὴν ἀσπίδα.)

29. (τοῦ σκάφους ὅλου : Ἀεὶ οἱ ποιηταὶ τὰς πόλεις πλοίοις παραβάλλουσι. καὶ Σοφοκλῆς.)

30. (λέγε νῦν ἀνύσας : Τὸ ἀνύσας Ἀττικοὶ δασύνουσι. τρόπιν δὲ,) ὡσανεὶ ἔλεγε τὴν ῥίζαν, (ἐπεὶ τῶν δρυόχων ἡ τρόπις ἵσταται πρώτη. Ἄλλως. τρόπιν ἀντὶ τοῦ τὸ μέρος, ἀπὸ μεταφορᾶς τοῦ σκάφους. οἱ δὲ τὴν ἀρχήν. ἔπαιξε δὲ πρὸς τὸ σκάφος.)

32. (ἐκκλησιάζειν : Εἰς ἐκκλησίαν συνάγειν. πρόβατα δὲ τοὺς Ἀθηναίους φησὶ, διαβάλλων τὸ προβατῶδες αὐτῶν. παλαιὸν δὲ ἦν ἔθος τοὺς ἐντίμους γέροντας τριβωνοφοροῦντας ἐκκλησιάζειν μετὰ βακτηρίας.)

34. (τοῖσι προβάτοις μοὐδόκει : Τὸ πλῆρες τοῖς προβάτοισί μοι ἐδόκει. καὶ ἔκθλιψις καὶ κρᾶσις. φάλαινα δὲ θηρίον θαλάττιον. πανδοκεύτρια δὲ ἡ πάντα δεχομένη καὶ καταπίνουσα, ἢ πάντα ἐπιτηροῦσα. κωμῳδεῖ δὲ πανταχοῦ τὸν Κλέωνα, σκώπτων ὡς ἅρπαγα καὶ πολλὰς μηχανὰς ἐπινοοῦντα εἰς τὸ κερδαίνειν. ἐμπεπρησμένης δὲ ἀντὶ τοῦ ἐμπεφυσημένης καὶ παχείας. πρῆσαι γὰρ τὸ φυσῆσαι. καὶ τοῦτο δὲ εἰς τὸ κρακτικὸν τοῦ Κλέωνος. πολλαχοῦ γὰρ ὡς τοιοῦτον αὐτὸν διασύρει, φάσκων [Eq. 137 ] « κυκλοβόρου φωνὴν ἔχων. » καὶ Παφλαγόνα παρὰ τὸ παφλάζειν τῇ φωνῇ.)

35. (πανδοκεύτρια : Ἡ πάντα δεχομένη. λέγει δὲ τὸν Κλέωνα.)

φάλαινα : Φάλαινα ἡ ἐν τῇ κεφαλῇ θρὶξ καὶ ἰχθὺς κητώδης. *Vict.*

36. ἐμπεπρησμένης : Πεφυσημένης. πρῆσαι γὰρ τὸ φυσῆσαι. ὁ Κλέων ἐχρῆτο φωνῇ χαλεπῇ, καθάπερ καὶ ἑτέρωθι [infra 1034] « φωνὴν δ' εἶχεν χαράδρας « ὄλεθρον τετοκυίας. » ἦν δὲ καὶ τὴν ὄψιν ἀργαλέος. δοκεῖ δὲ ἀσέμνως οὗτος πρῶτος δημηγορῆσαι. R. (ἐμπεφυσημένης, παχείας. πρῆσαι γὰρ τὸ φυσῆσαι. ἔνθεν καὶ ὁ πρηστήρ. καὶ Ὅμηρος [Il. Σ, 471] « εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι. »)

38. ὄζει κάκιστον : Ὅτι βυρσοπώλης ὁ Κλέων. R. V. Vict.

39. τρυτάνην : Ζυγὸν ἢ σταθμόν. *V. Vict.*

40. βόειον τὸ ἀναίσθητον. R.

41. (τὸν δῆμον ἡμῶν βούλεται : Πρὸς τὸν δῆμον καὶ τὸ ἵστη τὸ διιστάναι ἐπήγαγεν. ἀντὶ τοῦ διαχωρίσαι. Ἄλλως. παρὰ τοὺς τόνους δὲ ἔπαιξε, μίξας πρὸς τὰ σημαινόμενα. ἄλλως τε δὲ καὶ ἀφ' ἱστορίας τοῦτό φασι. καὶ γὰρ πρὸ δύο ἐτῶν τῆς διδασκαλίας τούτου τοῦ δράματος, Λακεδαιμονίων περὶ εἰρήνης πρεσβευσαμένων ὁ Κλέων ἀπήλασε τοὺς πρέσβεις.)

42. ἐδόκει δέ μοι Θέωρος : (Οὗτος ὡς κόλαξ κωμῳδεῖται) — τὸν Θέωρον εἰς κόλακα καὶ μοιχὸν καὶ πονηρὸν κωμῳδοῦσιν. R.

43. (κόρακος ἔχων : Καὶ ὡς ἅρπαγα αὐτὸν σκώπτων, ἐπήνεγκε τὸ κόρακος κεφαλὴν ἔχει. ὁ αὐτὸς δὲ ὡς πονηρὸς καὶ μοιχὸς κωμῳδεῖται.)

44. (Ἀλκιβιάδης : Τοῦτον διαβάλλει ὡς τραυλόν. οἱ δὲ τραυλοὶ τὸ λ ἀντὶ τοῦ ρ λέγουσιν.)

45. ἀντὶ τοῦ ὁρᾷς. Θέωλος ἀντὶ τοῦ Θέωρος. κόλακος ἀντὶ τοῦ κόρακος. R.

46. (ἐτραύλισεν : Ὁ τραυλισμὸς τοῦ στίχου εἰς τὸ Θέωρος, ἐπειδὴ προείρηται κόλαξ. ὅτι δὲ Ἀλκιβιάδης τραυλὸς, δῆλος τὸ λ ἀντὶ τοῦ ρ λέγων.)

47. (ἀλλόκοτον : Τερατῶδες, ξένον, ἄτοπον, [ἀλλοφυές]. ὁ δὲ λόγος· δεινόν ἐστι τοῦτο τὸ ἐνύπνιον, Θέωρος γινόμενος κόραξ.)

49. (εἶτ' ἐγένετ' ἐξαίφνης : Διὰ τοῦτο φησὶ καλὸν, ὅτι ἄνθρωπος ὢν κόραξ ἐγένετο. διὸ καὶ ἐπιφέρει

ἀρθεὶς ἀφ' ἡμῶν ἐς κόρακας οἴχεται.

ἐπίτηδες δὲ τοῦτο εἶπεν, ὅπως ἂν τὸ βλάσφημον εὐκαίρως κατ' αὐτοῦ δόξῃ λέγειν.)

54. τὴν ὑπόθεσιν τοῦ δράματος. R.

55. ὑπειπὼν : Ἀντὶ τοῦ προειπὼν, ὥσπερ καὶ τὸν προγραμμὸν ὑπογραμμὸν καλοῦσιν. V.

58. (Μεγαρόθεν : Ἢ ὡς ποιητῶν ὄντων τινῶν ἀπὸ Μεγαρίδος ἀμούσων, καὶ ἀφυῶς σκωπτόντων, ἢ ὡς τῶν Μεγαρέων γελώντων καὶ ἄλλως φορτικῶς γελοιαζόντων. Εὔπολις Προσπαλτίοις

τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν σφόδρα.

κεκλαμμένον : Ἀποσπασθέντα. γράφεται δὲ κεκλαμμένον Δωρικῶς ἀπὸ μετοχῆς τῆς κλαπεὶς, ὡς τραφείς. ὥσπερ οὖν τεθραμμένον, οὕτω κεκλαμμένον ἔφη.)

58. φορμίδες ἀγγεῖά τινα πλεκτὰ εἰς σῦκα ἢ ἕτερόν τι τοιοῦτον. R. (ἐκ φορμίδος : Φορμὶς κυρίως ἡ ψίαθος, νῦν δὲ ἡ σπυρίς. ὡς τῶν ἄλλων ποιητῶν διὰ ψυχρότητα ποιήσεως διὰ βόλου καρύων ὑποστελλομένων τὴν κακίαν τοῦ δράματος.)

59. δυϊκόν. R. δοῦλοι ῥίπτοντες. V.

60. (οὐδ' Ἡρακλῆς τὸ δεῖπνον : Ἐν τοῖς πρὸ τούτου δεδιδαγμένοις δράμασιν εἰς τὴν Ἡρακλέους ἀπληστίαν πολλὰ προείρηται. ποιοῦσι δὲ τὸν Ἡρακλέα γελοίου χάριν κεκλημένον εἰς δεῖπνον καὶ δυσχεραίνοντα διὰ τὸ βραδέως αὐτῷ παρατιθέναι τὰ ὄψα.)

61. ἐνασελγαινόμενος : Οἷον κατ' Εὐριπίδην πολλὰ λέξομεν ἀσελγῆ. R. (κατακωμῳδούμενος, ὑβριζόμενος. κατ' αὐτοῦ γὰρ καθῆκε τὰς Θεσμοφοριαζούσας. φησὶν οὖν, οὐ δεύτερον ταυτολογήσω περὶ αὐτοῦ, ὡς οἱ ἄλλοι· οὐ μόνον δὲ ἐν τούτῳ τῷ δράματι εἰσῆκται οὕτως Εὐριπίδης, ἀλλὰ καὶ ἐν τῷ Προαγῶνι καὶ ἐν τοῖς Ἀχαρνεῦσιν.)

62. (οὐδ' εἰ Κλέων γ' ἔλαμψεν : Τοῦτό φησιν ὡς τοῦ Κλέωνος ἀπὸ δυσγενῶν ἐκλάμψαντος, ὃν ἐκωμῴδησεν ἐν τοῖς Ἱππεῦσι, καθεὶς κατ' αὐτοῦ τὸ δρᾶμα. καὶ φησὶν, οὐ πάλιν αὐτὸν κωμῳδήσει ἑτέραν δι' αὐτὸν κωμῳδίαν ποιούμενος. μυττωτεύσομεν δὲ ἀντὶ τοῦ συντρίψομεν, δριμύξομεν, ἐκπικρανοῦμεν. μετενήνεκται δὲ ἀπὸ τῶν σκορόδων. μυττωτὸν γάρ ἐστι κυρίως τὸ ἐκ σκορόδων καὶ τυροῦ καὶ ὄξους τρίμμα, καὶ οὕτως ὠνομάσθη ἀντὶ τοῦ μυσωτόν τι ὄν· παρὰ τὸ μυσάττεσθαι αὐτοῦ τὴν ὀσμὴν, καὶ τροπῇ Ἀττικῇ τοῦ σ εἰς τ καὶ πλεονασμῷ μυττωτός. εἴγε καὶ ὁ Καλλίμαχος [fr. 282] φησὶ « ἵν' ἐτρίψαντο μυσωτόν. »)

64. (ἀλλ' ἔστιν ἡμῖν λογίδιον : Ὑπόθεσις ἔχουσα περιπέτειαν. λογίδιον δὲ εἶπε, μετριάζων. διὸ ἐπιφέρει· ὑμῶν αὐτῶν οὐχὶ δεξιώτερον. ἀντὶ τοῦ, ἧττον τῆς ὑμῶν σοφίας.)

66. (φορτικῆς : Ἀντὶ τοῦ οἰκτρᾶς τῆς ὑπ' ἄλλων λεγομένης, ἐν ᾗ φορτικά τινα εἰσάγουσιν.)

68. (ὁ μέγας : Οὐ τῇ ἡλικίᾳ, ἀλλὰ τῇ ἐξουσίᾳ καὶ τῇ σεμνότητι. τὸ δὲ ἄνω δεικτικῶς φησιν ἐπὶ ὑπερῴου. ὁρᾶται γὰρ ὁ Βδελυκλέων ἐπὶ ὑπερῴου καθήμενος.)

71. (νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον : Ξένην καὶ παρηλλαγμένην αὐτῷ, παρόσον ὁ μὲν φιλόδικος, ὁ δὲ τοῦτο βδελυττόμενος.)

73. (τοπάζετε : Εἰκάζετε, ὑπονοεῖτε, φησὶ, ποίῳ πάθει ἥττηται. γράφεται δὲ καὶ ἀπροσώπως, τοπάζεται.)

74. (Ἀμυνίας μέν : Ὧδε μὲν ὡς φιλόκυβος κωμῳδεῖται, ἐν δὲ Σεριφίοις Κρατίνου ὡς κόλαξ καὶ ἀλαζὼν καὶ συκοφάντης.)

75. φιλόκυβος οὗτος. τινὲς ἀμοιβαῖα. χαριέστερον δὲ λέγεσθαι αὐτὰ συνεχῶς πρὸς ἑνὸς. . . . ἄδηλον δὲ εἰ καὶ ἐν Νεφέλαις τούτου μέμνηται. R.

77. (ἀλλὰ φιλο μέν ἐστι : Ἀντὶ τοῦ εἰπεῖν ἀρχὴν τοῦ ὀνόματος φησὶ τοῦ κακοῦ. τὸ φιλο δὲ εἶπε, παρόσον Φιλοκλέων ἐκαλεῖτο. πεποιημένον δὲ τοῦτο παρὰ τὸ φιλεῖν τὰς Κλέωνος πράξεις. φιλόδικος δὲ οὗτος καὶ συκοφάντης.)

78. πρὸς Δερκύλον : (Οὗτος ὡς κάπηλος ἢ μεθυστὴς, πρὸς ὃν Σωσίας τις διαλέγεται. Ἄλλως.) ὁ Δερκύλος κωμικὸς ὑποκριτής. (δύο δὲ εἰσὶ Σωσίαι, ὁ μὲν Πυθίδος, ὁ δὲ Παρμένωνος.)

80. (αὕτη γε χρηστῶν ἀνδρῶν : Ὡς μεθυστὴς ὁ οἰκέτης ἐπαινεῖ τὴν μέθην.)

(81). Σκαμβωνίδης : Ἀπὸ δήμου τῆς Λεοντίδος φυλῆς ὁ Σκαμβωνίδης. ἐπτόηται δὲ οὗτος περὶ τὰς θυσίας καὶ μαντείας .

82. (φιλοθύτην αὐτόν : Φιλοθύται εἰσὶν οἱ δεισιδαίμονες, καὶ θύουσιν ἀεὶ τοῖς θεοῖς, νομίζοντες ἐκ τούτου ἀβλαβεῖς ἔσεσθαι.

ἢ φιλόξενον : Ὁ μὲν πρὸς τὸν ἀγαθὸν τρόπον εἶπε τὸ φιλόξενος, ὁ δὲ ὡς κύριον ἥρπασε. καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. Εὔπολις Πόλεσιν

ἔστι δέ τις θήλεια Φιλόξενος ἐκ Διομείων.

καὶ Φρύνιχος Σατύροις.)

83. (μὰ τὸν κύν' ὦ Νικόστρατε : Οὕτως διὰ δεισιδαιμονίαν ὤμνυον. ἢ τάχα μιμεῖται τοὺς φιλοσόφους εἰς κύνα καὶ χῆνα ὀμνύοντας.)

85. (ἄλλως φλυαρεῖτε : Ἀντὶ τοῦ μάτην φλυαρεῖτε. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν λεβήτων. ἀπὸ τοῦ φλύειν, ὅ ἐστι καχλάζειν, καὶ ἐκ τούτου τὸν ἀφρὸν ἀποβάλλειν. καὶ Ὅμηρος [Il. Φ, 361] « ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα. »)

88. φιληλιαστής : Ἀντὶ τοῦ φιλόδικος, ἀπὸ τοῦ μεγίστου δικαστηρίου τῆς Ἡλιαίας, ὅπερ οὕτω καλεῖται διὰ τὸ ἐν ὑπαιθρίῳ εἶναι καὶ ἡλίῳ βάλλεσθαι. — φιλοδικαστής. ἦσαν δὲ ἡλιασταὶ τὸν ἀριθμὸν φ'. ἐδίδοτο δὲ αὐτοῖς χρόνον μέν τινα δύο ὀβολοί, ὕστερον δὲ Κλέων στρατηγήσας τριώβολον ἐποίησε ἀκμάζοντος τοῦ πολέμου τοῦ πρὸς Λακεδαιμονίους. R.

90. ἦν μὴ 'πὶ τοῦ πρώτου : Ξύλον ὃ ἡμεῖς βάθρον. καὶ ἐν Ἀχαρνεῦσιν [25] « (ἐλθόντες ἀλλήλοισι) περὶ πρώτου ξύλου. »

91. (οὐδὲ πασπάλην : Ἀντὶ τοῦ οὐδὲ βραχύ. πρὸς Λυκόφρονα δὲ, ὅτι ἀδιορίστως ἀποδέδωκεν ἐλάχιστόν τι. τινὲς δέ φασιν ὅτι μαγνίτην κέγχρον πασπάλην φασί.) — τὸ τῆς κέγχρας ἄλευρον. τιθέασι δὲ καὶ ἐπὶ τοῦ τυχόντος. R.

92. (κἂν ἄχνην : Τὸ λεπτομερὲς τοῦ στάχυος. καὶ Ὅμηρος [Il. E, 499]

ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς.)

93. (περὶ τὴν κλεψύδραν : Ἀντὶ τοῦ περὶ τὸ δικαστήριον. κλεψύδρα γὰρ ἀγγεῖον τετρημένον, ἐν ᾧ ὕδωρ ἔβαλλον καὶ εἴων ῥεῖν ἄχρι τινὸς ὀπῆς, καὶ οὕτως ἔπαυον τὸν ῥήτορα. τοῦτο δὲ ἐποίουν διὰ τὸ φλυαρεῖν τὸν λέγοντα καὶ ἐμποδίζειν ἄλλοις θέλουσι λέγειν, ἵνα τὰ σπουδαῖα λέξας ἐξέλθῃ.)

95. (τοὺς τρεῖς ξυνέχων : Τούτοις γὰρ κατέχουσι τὰς ψήφους οἱ δικασταί, τῷ μεγάλῳ καὶ τῷ λιχανῷ καὶ τῷ μέσῳ.)

96. (νουμηνίᾳ : Κατὰ νουμηνίαν γὰρ ἔθος εἶχον λιβανωτοὺς ἐντιθέναι τοῖς ἀγάλμασι.)

(98). τὸν Πυριλάμπους : Μέμνηται τούτου καὶ Εὔπολις ἐν Πόλεσιν « καὶ τῷ Πυριλάμπους ἆρα Δήμῳ κυψέλη | ἔνεστιν. » ἦν δὲ καὶ εὔμορφος ὁ Δῆμος. ἐπέγραφον δὲ οἱ Ἀθηναῖοι τὰ τῶν καλῶν ὀνόματα οὕτως· ὁ δεῖνα καλός. [ἔγραφον δὲ καὶ ἐν τοίχοις καὶ ἐν θύραις, καὶ ὅπου τύχῃ.] καὶ οὗτος, φησὶν, ὡς ἐρωμένου ἑαυτοῦ τοῦ κημοῦ ἔγραφε, κημὸς καλός.

99. (κημὸς καλός : Κημὸς καλεῖται τὸ τοῖς καδίσκοις ἐπιτιθέμενον, δι' οὗ τὰς ψήφους καθίεσαν, ἵνα μὴ ὀλισθάνωσιν. ἔστι δὲ πλέγμα τι δικτυῶδες καὶ ἠθμῶδες, ἄνωθεν πλατὺ, κάτωθεν στενόν.) — κημός ἐστι πλέγμα τι, δι' οὗ τὴν δικαστικὴν ψῆφον καθίεσαν. Πυριλάμπους δὲ υἱὸς ἦν Δῆμος ὄνομα, τὴν ὥραν κάλλιστος. ἔθος δὲ ἦν τοῖς ἐρασταῖς ἐπιγράφειν πανταχοῦ τὸ τῶν παιδικῶν ὄνομα. R.

101. (ὄψ' ἐξήγειρεν : Ἐν ὑπερβολῇ τοῦτο. ἐμέμφετο γὰρ τῷ ἀλέκτορι, φησὶ, καὶ ταῦτα ἑσπέρας κρώζοντι, ὡς βραδέως αὐτὸν ἐγείρει.)

102. ὑπευθύνων : Τῶν δικαζομένων. *Vict.*

103. (ἀπὸ δορπηστοῦ : Λυκόφρων ἀπὸ ἀρίστου. οἱ δὲ ἄλλοι πάντες δόρπα τὰ δεῖπνα. — ἀπὸ δείπνου. V.

ἐμβάδας : Εἶδος ὑποδήματος. διὰ τὸ φιλοδικαστὴς εἶναι οὐ καθεύδει, φησὶν, ἐν τῷ οἴκῳ αὐτοῦ μετὰ τὸ δειπνῆσαι, ἀλλ' εὐθὺς ἀναστὰς ἀπὸ τῆς τραπέζης, καὶ ζητήσας τὰς ἐμβάδας, καὶ ὑποδησάμενος, ἀπέρχεται ἐν τῷ δικαστηρίῳ καὶ καθεύδει.)

104. ἐν τῷ δικαστηρίῳ. V. (πρωῒ πάνυ : Ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ ἀπιὼν ἀπονυστάζει ἐπιπίπτων τῷ κίονι. λεπὰς δὲ κογχύλιόν τι ταῖς πέτραις προσπηγνύμενον.)

106. τιμῶν τὴν μακράν : (Προείρηται ὑπὲρ τοῦ τοὺς δικαστὰς ἐν πινακίῳ, ἤτοι ἐπὶ σανίδος κηρῷ ἀληλιμμένης, ὁπότε καταλαμβάνοιέν τινα τῷ τολμήματι, ἕλκειν μακρὰν γραμμὴν, ὁπότε δὲ ἀπολύοιεν, βραχεῖαν. καὶ ἑξῆς [167] « δότε μοι ξίφος ὅπως τάχιστα, ἢ πινάκιον τιμητικόν. » τοῦτο δὲ ἐποίουν μετὰ τὸ ἀποβλέψαι εἰς τὰς ψήφους τὰς ἐν τῇ κάλπιδι. εἰ γὰρ ἑώρων τὰς μελαίνας πλείους, ἐχάραττον τῷ ὄνυχι τὴν μακρὰν, εἰ δὲ τὰς λευκὰς, τὴν βραχεῖαν. ὅτε δὲ πλείους ἦσαν αἱ λευκαὶ, ὁ διώκων ἐνίκα, ὁ φεύγων δ', ἢν πλείους αἱ μέλαιναι, κατεκρίνετο.) — εἰώθασιν οἱ καταδικαζόμενοι ἐν τῷ γραμματιδίῳ μακρὰν γραμμὴν ἕλκειν. R.

107. (ὁ βομβυλιός : Ζῷον μελίττῃ ὅμοιον· καὶ ὅτι κηρὸν ποιεῖ.) — ποιοῦσιν οἱ βομβύλιοι κηρία. R.

108. (ὑποπεπλασμένος : Πεπληρωμένος τοὺς ὄνυχας κηροῦ ὑπὸ τῶν χαραγμάτων. γράφεται ἀναπεπλασμένος.)

110. (αἰγιαλὸν ἔνδον ἔχων : Ὡς ἐπὶ ζῴου ἔφη τὸ τρέφει. οἷον, ἐγέμισε τὴν οἰκίαν ψήφων.) — ὅτι πλεῖστα ἦσαν δικαστήρια Ἀθήνησιν. R. παίζει. ἀντὶ τοῦ ἔχει. R.

111. (νουθετούμενος : Παρὰ τὰ Εὐριπίδου ἐκ Σθενεβοίας

τοιαῦτ' ἀλύει νουθετούμενος ἔρως.)

ἀλύει : Ἀλύω, ἀδημονῶ, ἀθυμῶ, ἀπορῶ. σημαίνει δὲ ἐνίοτε τὸ ἀλύω καὶ τὸ χαίρω. *Vict.*

116. τριβώνιον : Ὃ οἱ δικασταὶ φοροῦσιν. *Vict.*

119. (ἐκορυβάντιζεν : Ὡς μαινόμενος καὶ κατεχόμενος ὑπὸ θείου. ἀντὶ τοῦ, τὰ τῶν Κορυβάντων ἐποίει αὐτῷ μυστήρια, ἐπὶ καθαρμῷ τῆς μανίας.)

120. (εἰς τὸ Καινὸν ἐμπεσών : Τόπος ἐν τῷ δικαστηρίῳ οὕτω λεγόμενος. εἰσὶ δὲ δ', Παράβυστον, Καινὸν, τρίγωνον, Μέσον. τελούμενος οὖν, φησὶ, τὰ μυστήρια τῶν Κορυβάντων, παρ' οὐδὲν αὐτὰ θέμενος, κατέχων τὸ τύμπανον, ὥρμησεν εἰς τὸ δικαστήριον.)

121. τελεταῖς : Ἐπινοίαις. *Vict.*

123. (εἰς Ἀσκληπιοῦ : Ἐκεῖ γὰρ ἱερόν ἐστιν. ὡς νοσοῦντα οὖν ἐκεῖ ἔφερεν.)

124. ἐπὶ τῇ κιγκλίδι : (Ἀντὶ τοῦ, ἐν τῷ δικαστηρίῳ

ὁ πατήρ.) κιγκλὶς γὰρ ἡ θύρα τοῦ δικαστηρίου, (ἣν καὶ καγκελωτὴν καλοῦσι. κνεφαῖος δὲ, ἔτι σκότους ὄντος, καὶ μήπω γενομένης ἡμέρας, ὅτε ἐν τῷ δικαστηρίῳ ἀπῆλθεν).

125. (ἐντεῦθεν οὐκ ἔτ' αὐτόν : Ἀπ' ἐκείνου τοῦ χρόνου, μετὰ ταῦτα.

ἐξεφρείομεν : Ἐξεφέρομεν.)

126. (ὑδρορροῶν : Οἱ κοῖλοι τόποι, δι' ὧν χωρεῖ τὸ ὕδωρ τὸ ἐξ ὑετῶν.)

128. (ἐνεβύσαμεν : Ἐπληρώσαμεν, ἐφράξαμεν. Ὅμηρος [Od. Δ, 134] « νήματος ἀσκητοῖο βεβυσμένον. »

κἀπακτώσαμεν : Ἐφράξαμεν, ἐπληρώσαμεν. πακτῶσαι γὰρ τὸ σφηνῶσαι.)

(129). ὡσπερεὶ κολοιός : Τοῖς γὰρ ἐν τῷ οἴκῳ κολοιοῖς [καὶ τοῖς ἄλλοις ὀρνέοις] πηγνύουσι πάτταλον, ἵνα εἰς αὐτοὺς ἅλλοιντο.

133. (Φιλοκλέων : Ἰδίως εἶπε τῇ φράσει τῷ υἱῷ ὄνομα Βδελυκλέων καὶ τῷ πατρὶ ὄνομα Φιλοκλέων.)

135. (ἔχων τρόπους : Ἀντίπτωσίς ἐστιν· εὐθεῖα γάρ ἐστιν ἀντὶ δοτικῆς τῆς ἔχοντι. συνήθως δὲ ὀφρύαγμο ἀπὸ τοῦ ὀφρῦς, ἢ φρύαγμα, καὶ σεμνὸν ἀντὶ τοῦ ὑπερήφανον.) — σύνθετον παρὰ τὴν ὀφρὺν καὶ φρύαγμα καὶ τὸ σεμνόν. R.

136. (καθεύδετε : Ἐν ἀπειλητικῇ φωνῇ τοῦτό φησιν.)

139. (εἰς τὸν ἰπνόν : Ἰπνὸς κυρίως ἡ κάμινος, νῦν δὲ τὸ μαγειρεῖόν φησιν, ἐν ᾧ λαθὼν αὐτοὺς ὁ Φιλοκλέων εἰσῆλθεν καὶ εἰς τρύπην ὑπέδυ.)

140. (μυσπολεῖ : Καταδύεται, ὡς μῦς φοιτᾷ. οὕτως οἱ Ἀττικοὶ ὑπὸ μίαν λέξιν. Ἄλλως. πρὸς τὴν λέξιν, ὅτι ἀπὸ τῶν μυῶν ἔοικεν ὠνοματοπεποιῆσθαι, τὸ διερευνᾶσθαι κρύφα.)

141. κατὰ τῆς πυέλου : (Αἱ γὰρ πύελοι τρώγλας εἶχον ἐπὶ τὴν ὁδὸν πρὸς τὸ τὸ ὕδωρ ἐξέρχεσθαι. Ἄλλως. ἡ πύελος ἔχει τρώγλην, δι' ἧς ἀπολουόμενον ἐκχέουσι τὸ θερμόν. παίζει δὲ καὶ τοῦτο ὡς ἐπὶ μυός.) — ἐν τῷ αὐτῷ εἶχον καὶ τὴν πύελον καὶ τὸ λουτρόν. R.

142. οἰκέτης. R.

143. (κάπνη : Ἡ καπνοδόχη. ἔστι δέ τι σωληνοειδὲς ἐπὶ τῶν μαγειρείων, δι' οὗ ὁ καπνὸς ἔξεισιν. ὡς οὖν τοῦ Φιλοκλέωνος πειρωμένου δι' αὐτῆς ἐξελθεῖν καὶ κτύπον ποιήσαντος τοῦτό φησι. ταῦτα δὲ πάντα κωμικά ἐστι τοῦ γελοίου χάριν.)

144. Φιλοκλῆς. R.

145. (συκίνῳ : Ὅτι καὶ οἱ δικασταὶ δριμύτατοι καὶ ὁ γέρων. καπνοποιὸν γὰρ τὸ σύκινον ξύλον. καὶ ὅτι ὁ ἐκ τῶν συκίνων ξύλων καπνὸς δριμύτατος καὶ Ἀριστοτέλης φησὶν ἐν Προβλήματι.)

147. (οὐκ ἐσερρήσεις γε : Ὡς ἂν τῷ καπνῷ φησὶν, οὐκ εἰσελεύσει μετὰ φθορᾶς;

ποῦσθ' ἡ τηλία : Τῇ κάπνῃ βούλεται ἐπιθεῖναι πῶμα τὴν τηλίαν. τηλία δὲ, σανὶς βαθεῖα, ἐν ᾗ τὰ ἄλφιτα ἐν τῇ ἀγορᾷ ἐπίπρασκον.)

148. (φέρ' ἐπαναθῶ σοι καὶ ξύλον : Οὐ τῷ πατρὶ ταῦτα λέγει, ἀλλὰ τῇ κάπνῃ. ἢ πρὸς τὴν τηλίαν, ἵνα ἐπιθῇ αὐτῇ ξύλον εἰς βάρος, διὰ τὰς τοῦ πατρὸς μηχανάς.)

149. (ἐνταῦθα νῦν : Ἀποκλείσας τὴν διέξοδον τοῦ μὴ δυνηθῆναι αὐτὸν εἰσελθεῖν ταῦτά φησι.)

151. ὅστις πατρὸς νῦν καπνίου : Τὸν ὑπεκλυόμενον οἶνόν φασί τινες καπνίαν λέγεσθαι. ἐν δὲ τοῖς περὶ Κρατίνου διώρισται, εἰ τὸν ἀπόθετον ἢ καὶ παλαιόν. (διὸ Ἐκφαντίδην Καπνίαν καλοῦσιν. Ἄλλως. ἅμα πρὸς τὸ καπνῷ εἰκακέναι ἑαυτόν. εἶπε γὰρ, καπνὸς ἐγώ. ἅμα δὲ καὶ κάπνη εἶδος ἀμπέλου ξηρότατον καὶ δριμύτατον οἶνον ποιούσης, ὁμοίως καπνῷ ποιοῦντα δάκρυα. τινὲς δὲ καπνίαν οἶνον ἐν Βενεβεντῷ τῆς Ἰταλίας γίνεσθαί φασι. καὶ καπνία ἡ ἄμπελος.) — παίζει. R.

153. πρὸς τὴν θύραν, ἵνα αὐτὴν τηρήσω. V.

155. (ἐκτρώξεται : Ἀντὶ τοῦ τὸν μοχλὸν φύλαττε, ὅπως μὴ τὸ κλεῖθρον φαγὼν ἐξέλθῃ.

βάλανον : Τὸν μοχλόν. κυρίως δὲ τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. καὶ βάλανοι τὰ μάγγανα τῆς κλειδώσεως. καὶ βεβαλάνωται [Av. 1159] ἀντὶ τοῦ κεκλείδωται. καὶ βαλανάγρα ἡ κλεὶς, παρὰ τὸ ἀγρεύειν τὴν βάλανον.)

157. Δρακοντίδης : Πονηρὸς οὗτος (καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων Σοφισταῖς. Καλλίστρατος δὲ ἕνα τῶν λ' φησὶν, εἰ μὴ ὁμώνυμος. ἔστι γὰρ οὗτος ὁ τὸ περὶ τῶν λ' ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις.)

160. ἀποσκλῆναι : Ἀποθανεῖν, ἀποξηρανθῆναι. *Vict.*

164. ὀδὰξ τὸ δίκτυον : Νῦν πάλιν διὰ τοῦ δικτύου φαίνεται ἄνω παρὰ τὴν καπνοδόχην.

165. (ἀλλ' οὐκ ἔχεις ὀδόντας : Ἔπαιξεν, ἐπεὶ γέρων ἦν. οἱ δὲ γέροντες ἀποβάλλουσι τοὺς ὀδόντας.)

167. τιμητικόν : (Καταδικαστικὸν, ὅπου τὴν μακρὰν χαράσσοντες κατεδίκαζον, ἢ τὴν μικρὰν, καὶ ἀπέλυον,) — εἰς ὃ ἐτίμων καὶ τὰς μακρὰς λεγομένας εἷλκον ἐν τοῖς ἐπάνω. R.

169. (ἀποδόσθαι : Πωλῆσαι. )

170. (κανθηλίοις : Ὄνοις μεγάλοις.)

τὰ ἐπιτιθέμενα αὐτῷ κανθήλια. R. τοῖς κανθηλίοις : Λείπει ἡ σύν. *Vict.*

171. (νουμηνία γάρ ἐστιν : Ἔθος ἦν Ἀθήνησιν ἐν νουμηνίᾳ πιπράσκειν.)

173. (τὸν ὄνον ἔξαγε : Τοῖς οἰκέταις φησί.)

174. ὑπέβαλε. πανούργως. V.

175. εἷς τῶν οἰκετῶν. R. ἀλλ' οὐκ ἔσπασεν : Οὐκ ἐπέτυχε· παρὰ τὴν παροιμίαν [Thesm. 928]

αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.

(ἐλέγετο δὲ ἐπὶ τῶν πεῖρᾳ καθιέντων ἄγκιστρον μετὰ σχοίνου, καὶ μὴ ἐπιτυγχανόντων ἰχθύος τινός.)

176. τῇ προφάσει. V. τὴν πρόφασιν. G.

178. παρακύψαι : Φυλαττόμενος ὑπ' ἐμοῦ δῆτα. *Vict.*

(179.) κάνθων, τί κλάεις : Ὡς βαρουμένου τοῦ ὄνου. ἔφερε γὰρ τὸν γέροντα [ὑποκρεμασθέντα λάθρα], κατὰ μίμησιν τοῦ Ὀδυσσέως ὑπὸ τοῦ κριοῦ φερομένου, [ἐφ'

ᾧτε διαδρᾶσαι τὸν Κύκλωπα, ὅτε τὰ πρόβατα ἐξῆγε τοῦ σπηλαίου, ἐφαπτόμενος αὐτῶν τῆς ῥάχεως πρὸς τῇ θύρᾳ τοῦ σπηλαίου καθήμενος, ἵνα μὴ λαθὼν ἐξέλθῃ κύπτων ὁ Ὀδυσσεύς.] τοῦτο δὲ λαθὼν ἐποίησεν ὁ γέρων. διὸ πρὸς βαρυνόμενόν φησι τὸν ὄνον.

κάνθων : Ὑποκοριστικῶς ὁ ὄνος. *Vict.*

184. (Οὖτις νὴ Δία : Ὅτι καὶ ὁ Ὀδυσσεὺς Οὖτις παρ' Ὁμήρῳ ἐκαλεῖτο.)

185. (ἀπὸ Δρασιππίδου : Πέπλακε τὸ ὄνομα ἀπὸ τοῦ ἀποδρᾶσαι, ὥσπερ ἀπὸ φυλῆς, ἢ ἀπὸ γένους φάσκων.)

188. ἵν' : ὅπου. R. (ἰνδάλλεται : Φαίνεταί μοι ὅμοιος εἶναι πώλῳ κλητῆρος. Ἄλλως.) οἱ γὰρ πῶλοι ὑποδύνουσι τὰς μητέρας καὶ θηλάζουσιν.

(189). πωλίῳ : Ἀντὶ τοῦ ὄνου, ἢ ἡμιόνου, κλητῆρος εἶπεν εἰς φιλοδικαστήν. ἀντὶ τοῦ πώλῳ ὑποκοριστικῶς. [κλητῆρες δὲ οἱ καλοῦντες εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα.]

190. ἥσυχον : Ἄνευ θορύβου. *Vict.*

191. περὶ ὄνου σκιᾶς : Παροιμία ἐπὶ τῶν περὶ μηδενὸς χρησίμου φιλοτιμουμένων. R. παροιμία ἴση τῷ περὶ μηδενός. καὶ Δημοσθένης. V. (παροιμία ἐστὶν ἐπὶ τῶν τὰ ἀνόητα φιλονεικούντων, ἣν μετήνεγκε νῦν ὁ πρεσβύτης. ἔστι δὲ ἀπὸ τοιαύτης αἰτίας. φασί ποτε ἐν Ἀθήναις τινὰ δεηθέντα ὀνηλάτου μισθώσασθαι ὄνον ἐπὶ τῷ τὰ φορτία μόνον βαστάσαι ἐπὶ τὰ Μέγαρα. καὶ δὴ οὕτω δόξαν αὐτοῖς, ἐπιθέντες τὰ φορτία ὥδευον. μεσημβρίας δὲ γενομένης καὶ τῶν ὑπὸ κύνα καυμάτων σφοδρῶς αὐτοῖς ἐπικειμένων, οὐχ εὑρίσκοντες σκέπην, καθεῖλε τὰ φορτία ἀπὸ τοῦ ὄνου ὁ δεσπότης αὐτῶν, καὶ δι' αὐτῶν ἑαυτῷ σκιὰν ἐποίησε. πρὸς ὃ μαχόμενος ὁ ὀνηλάτης ἔλεγεν ὄνον μεμισθωκέναι ἐπὶ τῷ φορτία φέρειν, οὐ σκιὰν παρέξειν. ὁ δὲ ἔλεγε μεμισθῶσθαι, ὅπως ἂν ὡς βούλοιτο χρῷτο. ἐκ δὲ ταύτης τῆς φιλονεικίας μηδὲν οὔσης εἰς δικαστήριον κατηνέχθησαν. ὅθεν ἡ παροιμία.)

192. (πόρρω τέχνης : Ἀντὶ τοῦ οὐκ ἀπὸ τέχνης τινὸς πονηρὸς εἶ, οὐδ' ἀπὸ μελέτης, ἀλλὰ φύσει. παράβολος δὲ ἀντὶ τοῦ οὐ γνήσιος.) — λέγουσι τινὲς καὶ πονηρὰ κρέα ἀντὶ τοῦ σαπρά. R.

παράβολος : Ὁ τολμηρός. *Vict.*

194. (ὅταν, φησὶ, τραφῇς ὑπ' ἐμοῦ ὑπογάστριον. ἀπὸ μέρους δὲ τὴν τροφὴν ἁπλῶς λέγει. ἢ ὅτι ὄνους ἔτρωγον ἐν Ἀθήναις, καὶ τοὺς μισθοὺς λαμβάνοντες οἱ δικασταὶ ὠνοῦντο τὰ ὑπογάστρια. λείπει δὲ ἡ παρά. παρὰ γέροντος ἡλιαστικοῦ, οἷον ἐκ τῆς ἡμετέρας σπουδῆς καὶ τέχνης.)

ἀλλ' ἴσως ὅταν φάγῃς : Λείπει τὸ γνώσῃ με. *Vict.*

(195). ὑπογάστριον : [Ἐπεὶ πωλάριον ἐμιμεῖτο ἐπὶ τῷ ὄνῳ, τὸ ὑπογάστριον πρὸς τοῦτο. ἐχρῶντο δὲ τοῖς ὀνείοις. ἀντὶ τοῦ εἰπεῖν] ὑπογάστριον ὄνου ἢ βοὸς, ἔχεις γνῶναι ἄριστόν με ὄντα, εἰ καὶ μὴ νῦν με οἶδας. ἐπεὶ δικαστής ἐστιν, ἔφη γέροντος ἡλιαστικοῦ ἀντὶ τοῦ ὄνου.

196. (ὤθει τὸν ὄνον : Τὸ πρῶτον πρὸς τὸν οἰκέτην, τὸ δὲ ἕτερον πρὸς τὸν πατέρα, ὤθει σεαυτόν.)

197. καὶ Κλέων : (Ἐπεὶ δοκεῖ Κλέων μισθοὺς πορίζειν τοῖς δικασταῖς.) — ἐπεὶ ἐδόκει ὁ Κλέων μισθοὺς πορίζεσθαι τῷ λεπτῷ δήμῳ. R.

199. (ὤθει σὺ πολλούς : Ἤγουν ἐπίθες λίθους ἐπὶ τὴν θύραν, ἵνα μὴ εὐκόλως ἀνοίγῃ.)

200. (καὶ τὴν βάλανον : Τὴν εἰς τὸν μόχλον βάλανον ἔμβαλε εἰς τὸ πῆγμα δηλονότι, τουτέστι κλεῖσον τῷ κλειδίῳ.)

201. καὶ τῇ δοκῷ : Ἐμβαλεῖν παρακελεύεται καὶ τὴν δοκὸν, [τουτέστι τὸν ἀντιβάτην] πρὸς τὴν θύραν, (αὐτῇ δὲ τῇ δοκῷ τὸν ὅλμον. κατὰ φύσιν δὲ ἦν μᾶλλον εἰπεῖν, καὶ τὴν δοκὸν προσθείς).

202. (προσκύλιε : Οὐκ εἶπε βάστασον, ἀλλὰ κύλιε, δηλῶν τὸ μέγεθος τοῦ ὅλμου, ὅν φησι κάτω πρὸς τῇ ἀρχῇ τοῦ ἀντιβάτου προσθεῖναι.)

203. (τὸ βώλιον : Ἡ βῶλος ὑποκοριστικῶς. ἐν ὅσῳ δὲ ἕλκει ἐκ τῆς στέγης, ἔπεσε κατ' αὐτοῦ μικρὸς λίθος.)

206. ὀροφίας : Παρὰ τὸ μῦς ὀροφίας. (λέγονται δὲ μῦς ὀροφίαι καὶ ὄφεις οἱ περὶ τὰς ὀροφὰς διάγοντες καὶ ταύτας περιτρώγοντες.)

207. (στρουθὸς ἀνὴρ γίνεται : Ἐπειδὴ ἀναπηδᾷ ὁ γέρων, ταῦτά φησιν ὁ οἰκέτης.)

209. σοῦ σοῦ : Ἀποσοβοῦσι τὸν γέροντα, σοῦ, ὡς εἰώθαμεν τὰ ὄρνεα σοβεῖν.

210. Σκιώνην : (Φιλόχορος ἐπὶ Ἰσάρχου φησὶ πρὸ ἐνιαυτοῦ Βρασίδαν ἀποστῆσαι Σκιωναίους τῶν Ἀθηναίων.) Ἀθηναίους δέ φασι λ' τριήρεις πρότερον πέμψαντας Σκιώνην περιτειχίσαι, [ὕστερον δὲ μαθόντας ἀποστῆναι αὐτῶν, ἀποστεῖλαι στρατὸν καὶ πολιορκῆσαι καὶ ἀποτειχίσαι αὖθις ὡς τὸ πρότερον]. (ἔστι δὲ χωρίον Θρᾴκης πολέμιον Ἀθηναίοις, ἣν ἐφρούρουν ἐπιεικῶς, ἣν πολιορκήσαντες ἀπετείχισαν.)

(ἀντὶ τούτου : Ἀντὶ τοῦ πατρὸς τούτου, ἵνα ᾖ ὁ οἰκέτης λέγων περὶ τοῦ πατρὸς τοῦ Βδελυκλέωνος.)

213. (ὅσον στίλην : Ὅτι σημαίνει τὸ ἐλάχιστον. Καλλίστρατος δὲ, νομισμάτιόν τι ἐλάχιστον.)

ὅσον ὅσον στίλην : Τὸ οὐδὲν καὶ τὸ τυχόν. ἔστι δὲ ὁ σταλαγμός. *Vict.*

214. (ἀλλ' ὦ πόνηροι : Πρὸς τοὺς οἰκέτας τὸ ὦ πόνηροι.)

215. παρακαλοῦντες τουτονί : Ἀντὶ τοῦ ἐκκαλοῦντες. (οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τοῦ ἀξιοῦν. τοῦτο δέ φησιν εὐκαίρως βουλόμενος τὴν εἴσοδον τοῦ χοροῦ ποιῆσαι. ἐκ γὰρ φιλοδίκων ἀνδρῶν συνέστηκεν.) — ἡ παρά ἀντὶ τῆς ἐξ. V.

216. ὄρθρος βαθύς : Βαθεῖα νύξ. *Vict.*

217. ὀψέ : μετὰ τὸν καιρὸν τὸν δέοντα. *V. Vict.*

218. ἀντὶ τοῦ καλοῦσι. V.

219. μινυρίζοντες : ᾄδοντες. *V. Vict.*

220. (ἀρχαιομελι σιδωνοφρυνιχήρατα : Παρὰ τὸ μέλι, ὅπερ ἐστὶν ἡδὺ, καὶ τὴν Σιδῶνα καὶ τὸν Φρύνι-

χον καὶ τὰ ἐρατὰ ἔμιξεν, οἷον ἀρχαῖα μέλη Φρυνίχου ἐρατὰ καὶ ἡδέα, καθάπερ μέλι περιέχοντα τὸ τῆς Σιδῶνος ὄνομα. Φρύνιχος δὲ ἐγένετο τραγῳδίας ποιητὴς, ὃς ἔγραψε δρᾶμα Φοινίσσας, ἐν ᾧ μέμνηται Σιδωνίων. τὰ δὲ μέλη εἶπε διὰ τὴν γλυκύτητα τοῦ ποιητοῦ. Ἄλλως. ὅτι δι' ὀνόματος ἦν καθόλου μὲν ὁ Φρύνιχος ἐπὶ μελοποιίᾳ, μάλιστα δὲ τὸ ἐκ τῶν Φοινισσῶν αὐτοῦ τὸ « καὶ Σιδῶνος προλιπόντα ναόν. » ἢ « Σιδώνιον ἄστυ λιπόντες. » πεποίηται δὲ ἡ λέξις παρὰ τὸ ἀρχαῖον καὶ τὸ μέλος καὶ τὸ Σιδὼν καὶ τὸ Φρύνιχος καὶ τὸ ἐρατόν. Ἀρίσταρχος δέ φησι γεγενῆσθαι ἀπὸ τοῦ μέλι καὶ τοῦ Σιδῶνος καὶ τοῦ Φρυνίχου καὶ τοῦ ἐρατόν.)

222. βαλλήσομεν : Οὕτω λέγουσιν ἐπεκτείνοντες καὶ ἄλλα πολλὰ, οἷον παιήσομεν. ὡς ἀπὸ περισπωμένου δὲ ἔστι τοῦ βαλλῶ. V. Vict.

223. ὀργίσῃ : Παροξύνῃ. *Vict.*

224. (ὅμοιον σφηκιᾷ : Ἀντὶ τοῦ σφηκώδεις εἰσὶ καὶ κεντρώδεις. ἐν σχήματι γὰρ σφηκῶν εἰσάγονται.)

σφηκιᾷ : Συστήματι σφηκῶν. Vict.

225. ἐκ τῆς ὀσφύος : (Ὅτι ἐν σχήματι σφηκῶν εἰσάγει τὸν χορὸν, προβάλλοντα ἐκ τῆς ὀσφύος κέντρον τι ὀξύτατον. πεποίηκε δὲ τοῦτο διὰ τὸ τοὺς γέροντας καὶ τοὺς δικαστὰς ὀξυχόλους εἶναι καὶ δίκην σφηκῶν τιτρώσκειν τοῖς λόγοις.) — ἐπειδὴ ὁ χορὸς τῶν γερόντων ἔρχεται ὡς σφῆκες διεσκευασμένοι καὶ κέντρον ἔχουσι. R.

ὀσφύος : Ὀσφῦς ὁ παρὰ πλευροῖς διάκενος τόπος. *Vict.*

227. φέψαλοι : Σπινθῆρες, οἷον πῦρ πνέουσιν. *V. Vict.* σπινθῆρες. R.

230. (ὦ Κωμία βραδύνεις : Ἀντὶ τοῦ ἐβράδυνας εἰς τὸ δικαστήριον ἐλθεῖν. οἱ τοῦ χοροῦ δὲ ἀλλήλοις ἐγκελευόμενοι τὴν πάροδον ποιοῦνται. ὄνομα δὲ γέροντος ὁ Κωμίας. καὶ ἴσως πεποίηται παρὰ τὴν κώμην. κύνειος δὲ εὔτονός τις καὶ ἰσχυρός. Χαρινάδης δὲ ὄνομα γέροντος.) — ἀντὶ τοῦ ταύρειος κύνειος εἶπεν παρ' ὑπόνοιαν. ἀσθενέστεροι δὲ οὗτοι τῶν βοείων. Χαρινάδης εὑρίσκεται περὶ δικαστήρια καὶ δίκας. R. εὔτονός τις καὶ ἰσχυρός. (ἤδη δὲ καὶ παροιμιακὸν γέγονε.) R. V.

233. (Κονθυλεῦ : Κονθύλη δῆμος τῆς Ἀττικῆς τῆς Πτολεμαΐδος φυλῆς, ἢ Πανδιονίδος.)

234. (Χάβης : Οὕτως Ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου παρατίθεται τὸ ὄνομα διὰ τοῦ β Χάβης. τὸ δὲ Φλυεὺς ἀπὸ δήμου. — τῆς Πτολεμαΐδος φυλῆς δῆμος ἡ Φλύη. V.

235. (πάρεσθ' ὃ δὴ λοιπόν : Ὅ ἐστιν ὑπόλοιπον ἡμῶν ἥκομεν. οἷον τὸ λοιπὸν καὶ τὸ λείψανον τοῦ συστήματος ἡμῶν πάρεστι. τοῦτο δ', ἐπειδὴ ἐν νυκτὶ τὴν πορείαν ἐποιοῦντο.)

238. (τῆς ἀρτοπώλιδος : Παρ' ὑπόνοιαν τοῦτο, δέον εἰπεῖν, τοὺς πολεμίους ἐχειρωσάμεθα, ἢ λόχον τινὰ ἐποιήσαμεν.

τὸν ὅλμον : Ὡς ξυλίνου ὄντος τοῦ ὅλμου. καὶ Ἡσίοδος [Op. 421] « ὅλμον μὲν τριπόδην τάμνειν. » Ἄλλως. ὅλμον τὸ μαγειρικὸν ἐργαλεῖον, καὶ ὁ τρίπους τοῦ Ἀπόλλωνος. καὶ ὁλμειὸς στρογγύλος λίθος, εἰς ὃν κόπτουσιν ὄσπρια καὶ ἄλλα τινά.)

(239). τοῦ κορκόρου : Πρὸς τὸν Λυκόφρονα, κόρκορον λέγοντα ἰχθύδιόν τι. ἠπάτηται δὲ, ὥς φησιν Ἐρατοσθένης. ἔστι γὰρ λάχανόν τι ἄγριον [καὶ εὐτελὲς] ἐν Πελοποννήσῳ, ὡς καὶ ἡ παροιμία « καὶ κόρκορος ἐν λαχάνοισι. » τὸ δὲ κατασχίσαντες, αὐτὸν τὸν ὅλμον δηλονότι· οὐ γὰρ τὸν κόρκορον.

240. (ὡς ἔσται Λάχητι νυνί : Ἡ δίκη, ἡ τιμωρία, ἢ τοιοῦτόν τι. τοῦτο δέ φησιν, ὡς τοῦ Κλέωνος εἰς δίκην ἐπαγαγόντος τὸν Λάχητα. στρατηγῆσαι δὲ αὐτόν φησι Δημήτριος ἐπὶ ἄρχοντος Εὐκλέους πρὸ τριῶν ἐτῶν εἰς Σικελίαν πεμφθέντα μετὰ νεῶν Λεοντίνοις βοηθήσοντα. οἱ δὲ περὶ τὸν Φιλόχορον διαδέξασθαι αὐτόν φασι Σοφοκλέα καὶ Πυθόδωρον, οὓς καὶ φυγῇ ζημιωθῆναι. εἰκὸς γοῦν μετακληθῆναι αὐτὸν ἐπὶ τὴν κρίσιν, ἧς νῦν ὁ κωμικὸς μνημονεύει.)

241. (σίμβλον δέ φασι : Σίμβλον κυρίως εἰσὶν αἱ θῆκαι, ἔνθα αἱ μέλισσαι ἀποτίθενται τὸ μέλι. ὡς τοῦ Λάχητος δὲ τὰ δημόσια σφετερισαμένου καὶ πλουτήσαντος. — ὁ αὐτὸς δὲ καὶ ὡς φαλακρὸς κωμῳδεῖται. V.

242. (χθὲς οὖν Κλέων : Κατ' ἐπιταγὴν δὲ τοῦ στρατηγοῦ καὶ οἱ δικασταὶ ἐκαλοῦντο. ὥρα δὲ νῦν οὐχ ὁ καιρὸς, ἀλλὰ ταχέως.)

(243). ἡμερῶν ὀργὴν τριῶν : Παρὰ τὸ κηρύττεσθαι σιτία ἡμερῶν τριῶν τοῖς στρατιώταις ἔπαιξε. [χολουμένους δὲ κατὰ αὐτοῦ κολάσοντας.]

248. ὦ πάτερ πάτερ : Παρέπονται αὐτοῖς παῖδες λύχνον φέροντες, (καὶ πιθανῶς, ἵνα ἡ ὀρχήστρα πληρωθῇ. παῖς δέ τις προηγούμενος μετὰ λύχνου προεωρακὼς πηλόν. τὸ δὲ μέτρον ἐντεῦθεν ἤλλαξεν. ἔστι γὰρ μικτὸν, συντεθὲν ἔκ τε ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου καὶ ἰθυφαλλικοῦ. ὁ δὲ ἰθύφαλλος τροχαϊκὴν συζυγίαν ἔχει δίμετρον βραχυκατάληκτον, τουτέστι τρεῖς τροχαίους).

249. (κάρφος χαμάθεν : Ἐν κάρφει γὰρ ἠρέμα τις προμύσσει. πρὸς τοὺς παῖδας δέ φησι, τοὺς προπέμποντας αὐτόν.) — πρόμυξον, ἐκ τῆς μύξης προάγαγε. R.

250. ἀλλὰ τῳδί μοι : (Δεικτικῶς τῷ λιχανῷ δακτύλῳ. προμύσσειν δὲ εἰς τὸ ἔμπροσθεν βαλεῖν τὸ ἐλλύχνιον.) — τὸν δάκτυλον δείκνυσιν, ἵνα μὴ κάμψας ζητῇ. R.

251. τί δὴ μαθών : (Ὡς τοῦ παιδὸς τῷ δακτύλῳ ἐπισπασαμένου τὸ ἐλλύχνιον, καὶ ἐν τοσούτῳ ἐλαίου ἐκχυθέντος, εἷς τῶν πρεσβυτῶν, ὃς καὶ πατὴρ ἦν τοῦ παιδίου, ἀγανακτήσας κονδύλους αὐτῷ δίδωσιν. Εἰς τὸ αὐτό. τοῦτο εἰπὼν δίδωσιν αὐτῷ κόνδυλον.) — ἅμα κόνδυλον τῷ παιδαρίῳ δίδωσι διὰ τὸ νεώτερον ὄντα μὴ φροντίζειν. R.

253. (οὐ γὰρ δάκνει σ' ὅταν δέῃ : Οὐ γὰρ λυπεῖ σε τὸ ἔλαιον πολλοῦ πιπρασκόμενον. οὐ γὰρ αὐτὸς ἀγοράζεις. πατρὸς δὲ υἱὸς σμικρολόγου.)

257. (τυρβάσεις : Ἀντὶ τοῦ ταράξεις. ὁ δὲ ἀτταγᾶς

ὄρνεόν ἐστιν εὑρισκόμενον ἐν τοῖς ἕλεσι καὶ τερπόμενον ἐν τοῖς πηλώδεσι τόποις καὶ τέλμασιν. ἡμεῖς δὲ ἀτταγῆνα αὐτὸν φαμέν.)

258. ἐν τῷ δικαστηρίῳ δηλονότι. ὡς παραινῶν δὲ λέγει ὅτι μὴ λυποῦ ὅτι ἐτυπτήθης· καὶ γὰρ μείζονάς σου κολάζω. V.

260. ἀντὶ τοῦ εἴσω ἡμερῶν τεσσάρων πάντως ὑετὸς γίνεται· μύκης δέ ἐστιν ὁ περὶ τὰς θρυαλλίδας σπινθὴρ, ὃς διὰ τὴν περιέχουσαν ἰκμάδα ἀποπηδᾷ τοῦ λύχνου, πολεμούμενος τῷ ἐναντίῳ. V.

261. τὸν Δία ὑετόν. V.

262. (οὑτοιὶ μύκητες : Φασὶν ὅτι ὑετοῦ μέλλοντος γενέσθαι οἱ περὶ τὴν θρυαλλίδα τοῦ λύχνου σπινθῆρες ἀποπηδῶσιν, οὓς μύκητας νῦν λέγει, ὡς τοῦ λύχνου ἐναντιουμένου τῷ νοτερῷ ἀέρι. καὶ Ἄρατος [976]

> ἢ λύχνοιο μύκητες ἐγείρονται περὶ μύξαν,
> νύκτα κατὰ νοτίην.

τινὲς δέ φασι τὸν μύκητα ζωΰφιόν τι εἶναι λεπτότατον πάνυ σκνιψὶ ἐοικὸς, ὃ δι' ὑπερβολὴν λεπτότητος τῆς ψύξεως τῆς περὶ τὸν ἀέρα θᾶττον ἀντιλαμβανόμενον περὶ τὸν λύχνον ἵπταται, θέρμης ἐπιθυμοῦν, καὶ περικροῦον ἐν τῷ λύχνῳ ποιεῖ σπινθῆρας· ὅθεν τεκμαίρονται τὸν ὑετόν. καὶ Καλλίμαχος [fr. 47] « ἄδην ἐγένοντο μύκητες. »)

263. φιλεῖ : Ἤγουν ὁ Ζεύς. *Vict.*

264. δεῖται δὲ καὶ τῶν καρπίμων : ὅσα μή ἐστι τῶν καρπῶν πρώιμα. V. μάλιστα δ' ὅσα μὴ πρώιμά ἐστι τῶν καρπῶν δεῖται ὕδατος. R. (ἐμφαίνει διὰ τούτων τὸ γεωργικὸν ἦθος, εὖ μάλα δεικνύων ὅτι μέλει αὐτοῖς τῶν καρπίμων. — διῃρημένως χρῶνται τῇ τοιαύτῃ διαστολῇ. δέονται, φασίν, οἱ καρποὶ τοῦ ὑετοῦ, καὶ μάλιστα οἱ μὴ πρὸ καιροῦ σπαρέντες. V.)

266. γενόμενοι περὶ τὸν οἶκον τοῦ Φιλοκλέωνος ὑπομιμνήσκονται αὐτοῦ, καὶ μὴ ἑωρακότες αὐτὸν μεθ' ἑαυτῶν διαλέγονται περὶ αὐτοῦ. V.

268. (ἐφολκὸς ἦν : Ἐφολκὶς κυρίως λέγεται ἡ λέμβος, ἤτοι ἡ μικρὰ ναῦς ἡ ὑφ' ἑτέρας νεὼς ἑλκομένη, διὰ βραδυτῆτα. φησὶ γοῦν κἀνταῦθα ὅτι οὐχ ὑπό τινος ἑλκόμενος ἐξήρχετο, ἀλλὰ πρῶτον ἡγεῖτο ἡμῶν. νυνὶ δὲ τί παθὼν οὐκ ἐξέρχεται;)

269. τοῦ μελοποιοῦ τὰ μέλη ᾖδεν. ἦν δὲ καὶ τραγικός. V.

270. [στάντες : Πρὸ τῶν θυρῶν τοῦ Φιλοκλέωνος στάντες οἱ τοῦ χοροῦ τὸ στάσιμον ᾄδουσι μέλος. τῶν γὰρ χορικῶν μελῶν τὰ μέν ἐστι παροδικὰ, ὡς τὸ [Nub. 276] « ἀέναοι νεφέλαι, ἀρθῶμεν φανεραί, » καὶ τὸ προειρημένον ἐνταῦθα « χώρει πρόβαιν' ἐρρωμένως. » τὰ δὲ στάσιμα, ὡς τὸ παρόν. καὶ παρ' Αἰσχύλῳ [Prom. 397] « στένω σε τᾶς οὐλομένας τύχας, Προμηθεῦ. » τὰ δὲ προῳδικὰ, τὰ δὲ μεσῳδικὰ, τὰ δὲ ἐπῳδικὰ, περὶ ὧν προείρηται τίνος χάριν οὕτω καλοῦνται, τὰ δὲ ἐξοδικὰ ἢ ὑποχωρητικὰ, ἅπερ ἐπὶ τῇ ἐξόδῳ τοῦ δράματος ᾄδεται, ὡς ἐν τῷ Πλούτου δράματι τὸ « οὐκέτι νῦν γ' εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν εἰς τοὔπισθεν. δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι. »]

271. ἐπειδὴ ἥδετο τοῖς ᾄσμασι, τοῦτο κατ' αὐτὸν ἀπατήσας βούλεται κατενέγκαι. V.

274. (μῶν ἀπολώλεκε τὰς ἐμβάδας : Ἐκ τοῦ εἰκότος τὴν τοῦ γέροντος ἐπὶ τὰ ἔνδον διατριβὴν τεκμαίρεται. βουβωνιῴη δὲ τὸν βουβῶνα ἀλγοίη.)

278. οὐκ ἄν τις ἀναπεῖσαι αὐτὸν ἠδύνατο εἰς ἕτερόν τι, φιληδοῦντα τῇ ἡμῶν διατριβῇ. V.

279. (ἀλλ' ὁπόταν : Ἤγουν ὁπότε μεταστῆσαι τοῦ δικάζειν παρεκάλει αὐτόν τις, ὅπως ἂν μὴ αἰδεσθείη διὰ τῶν ὀφθαλμῶν, κάτω κύπτων, λίθον ἕψεις ἔλεγε. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀδυνάτων γενέσθαι τὸ λίθον ἕψεις, ὡς καὶ τὸ πλίνθον πλύνεις, καὶ χύτραν ποικίλλεις, καὶ εἰς ὕδωρ γράφεις, καὶ Αἰθίοπα λευκαίνεις, καὶ κατὰ θαλάττης σπείρεις, καὶ τὰ τοιαῦτα.)

281. (διὰ τὸν χθεσινὸν ἄνθρωπον : Πάλιν στοχάζεται ἑτέραν πρόφασιν τῆς ἀπολείψεως αὐτοῦ, ὡς κρινομένου τινὸς καὶ διαφυγόντος τὴν καταδίκην ἀναξίως καὶ ἐκ τούτου ὀδυνηθέντα καὶ κακωθέντα ἀπολειφθῆναι.)

(283). τὰ 'ν Σάμῳ : [Τὰ περὶ Σάμου ἐννεακαιδεκάτῳ ἔτει πρότερον ἐπὶ Τιμοκλέους ἄρχοντος γεγονε.] Μιλησίων γάρ ποτε καὶ Σαμίων μαχομένων Ἀθηναῖοι παρακληθέντες ὑπὸ Μιλησίων εἰς συμμαχίαν ἐπεστράτευσαν κατὰ τῶν Σαμίων, Περικλέους ἡγουμένου τοῦ Ξανθίππου. κακῶς δὲ διατεθέντες Σάμιοι ἐπεχείρησαν πρὸς τὸν βασιλέα τῶν Περσῶν ἐπελθεῖν. καὶ δὴ τοῦτο μαθόντες Ἀθηναῖοι τριήρεις πολεμικὰς κατ' αὐτῶν κατεσκεύασαν, Περικλέους εἰσηγησαμένου αὐτῶν. τοῦτο δὲ μαθόντες Σάμιοι μηχανήν τινα κατασκεύασαν κατ' αὐτῶν, ἣν μαθόντες Ἀθηναῖοι ὑπό τινος Καρυστίωνος ἐφυλάξαντο, καὶ Σαμίους μὲν κακῶς διέθηκαν, τὸν δὲ Καρυστίωνα ἐτίμησαν σφόδρα μετὰ τοῦ γένους καὶ τῆς αὐτῶν πολιτείας ἠξίωσαν. ὡς οὖν τινος ἐξαπατήσαντος καὶ εἰπόντος ἑαυτὸν εἶναι τὸν μηνυτὴν τοῦ σκαιωρήματος τῶν Σαμίων, καὶ διὰ τοῦτο ἀπολυθέντος, φησὶν ὠδυνῆσθαι τὸν Φιλοκλέωνα, ὡς ταῖς καταδίκαις μᾶλλον χαίροντα. — τὰ περὶ Σάμον ιθ' ἔτει πρότερον ἐπὶ Τιμοκλέους γέγονε καὶ ἐπὶ τοῦ ἑξῆς Μορυχίδου. οὐδὲν κωλύει τὸν ἐχθὲς κρινόμενον ἀναμιμνήσκειν τοὺς δικαστὰς ἰδίας τινὸς εὐεργεσίας παλαιᾶς γεγενημένης. Ἀθηναῖοι δὲ Μιλησίους ἐπαγαγόμενοι ἐκάκωσαν τὴν Σάμον καὶ ἔμφρουρον ἐποίησαν, τὴν δημοκρατίαν καταστήσαντες διὰ Περικλέους. Σάμιοι δὲ ἀπέστησαν πρὸς βασιλέα. καὶ τότε οἱ Ἀθηναῖοι τελέως αὐτοὺς κατεπολέμησαν, ἵνα πάλιν προσηγγέλθη Περικλεῖ ὅτι Φοίνισσαι νῆες παρεῖεν βοηθοῦσαι Σαμίοις. τοῦτον ἂν εἴη λέγειν πρὸς τοὺς δικαστὰς ἀπηγγελκέναι καὶ ὠφελῆσαι τὴν πόλιν. V.

286. (ἀλλ' ὦ 'γάθ' ἀνίστασο : Πρὸς τὸν Φιλοκλέωνα φησί. παχὺς δὲ πλούσιος. ἐκ δὲ τοῦ ἐναντίου λεπτοὺς τοὺς πένητας φησίν.)

288. ἄδηλον εἰ ὃν προεῖπε Λάχητα ἢ ἄλλον τινὰ κριθησόμενον. V.

289. ἐγχυτριεῖς : (Ἀντὶ τοῦ φονεύσεις. ἐκ τοῦ παρεπομένου.) — ἀποκτενεῖς. μετενήνοχεν δὲ ἀπὸ τῶν ἐν ταῖς χύτραις ἐκτιθεμένων βρεφῶν. R. ἀπὸ τῶν ἐκτιθεμένων παιδίων ἐν χύτραις. διὸ καὶ Σοφοκλῆς ἀποκτεῖναι χυτρίζειν ἔλεγεν ἐν Πριάμῳ, καὶ Αἰσχύλος Λαΐῳ καὶ Φερεκράτης. ὅθεν καὶ ἐγχυτριστρίας ἐκάλουν τὰς διακονουμένας τὰ βρέφη. καὶ νῦν οὖν ὡς ἐπὶ ἀπωλείας τοῦ κριθησομένου ἔθηκε τὴν λέξιν. παρ' ὅσον τὰ ἐκτιθέμενα ἢ εἰς ὄρος ἢ εἰς ἔρημον τόπον βάλλεται. V.

290. (ὕπαγε : Εἰς τὴν οἰκίαν δηλονότι, ὡς κατασταθέντων αὐτῶν. παπία δὲ πάτερ.)

297. (οὐκ ἂν μὰ τὸν Δία : Ὠνήσομαι δηλονότι ἰσχάδας, εἰ κρεμασθέντες ἀπάγξοισθε.)

300. (μισθαρίου : Τοῦτό φησιν) ὡς τριωβόλου τοῦ δικαστικοῦ ὄντος μισθοῦ, — ἵνα ἕκαστος τούτων ὀβολοῦ λογίσηται πιπρασκόμενος. ἦν μὲν γὰρ ἄστατον τὸ τοῦ μισθοῦ. ποτὲ γὰρ διωβόλου ἦν, ἐγίνετο δὲ ἐπὶ Κλέωνος τριώβολον. Φρύνιχος « τριώβολον ὅσον ὑπερηλιάζομαι. » V.

301. ὡς τριωβόλου ὄντος τοῦ μισθοῦ, ἀφ' οὗ τὸ τρίτον ἀναλίσκεται εἰς ἄλφιτα, τουτέστιν εἷς ὀβολὸς, καὶ τὸ ἄλλο ξύλα, καὶ τὸ τρίτον ὄψον. V.

302. (σῦκά μ' αἰτεῖς : Τουτέστι τρυφᾶν βούλει. ὅτι τρυφήν φασι τὸ ἐσθίειν ἰσχάδας.) — ἐν ἐρωτήσει ταῦτα καὶ ἤθει. V.

306. νῷν : Τῷ δυϊκῷ ἐχρήσατο οὐ κακῶς· παῖδες γάρ εἰσι καὶ πατέρες ὡς ἓν πρόσωπον πρὸς ἕν. V.

πόρον Ἕλλας : Νῦν πόρον τὸν πορισμόν φησιν. ἐπήνεγκε δὲ παρὰ τὸ Πινδαρικὸν [fr. 197]. τὸ Ἕλλας ἱερὸν « Πανδείματοι μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱερόν. » — Ἄλλως. ὁ Πίνδαρος τὸν πλοῦν τοῦ Ἑλλησπόντου· νῦν δὲ πορισμόν. V.

313. (πράγματα βόσκειν : Ὁ λόγος ἐκ Θησέως Εὐριπίδου. ἐκεῖ γὰρ ταῦτα λέγουσιν οἱ ταττόμενοι παῖδες εἰς βορὰν τῷ Μινωταύρῳ. τὸ δὲ ἑξῆς, τὸ ἀνόνητον ἄρα, Ἱππόλυτός ἐστιν ὁ λέγων ἐκεῖ « ἀνόνητον ἄγαλμα, πάτερ, οἴκοισι τεκών. » — ἄγαλμα γὰρ ὁ υἱὸς τῷ πατρὶ, ἐφ' ᾧ ἀγάλλεται. ἄγαλμα λέγεται ἐφ' ᾧ τις ἀγάλλεται. ὡς αὐτοῦ δὲ βαστάζοντος ἔλεγε θύλακον. V.

315. [θυλάκιον : Ὡς αὐτοῦ βαστάζοντος θύλακον.]

319. (ὑπὸ τῶνδε : Ὑπὸ τῶν οἰκετῶν.)

321. (ἐπὶ τοὺς καδίσκους : Τοὺς ἐν τῷ δικαστηρίῳ κάδους, ἐν οἷς τὰς ψήφους καθίεσαν, ὑποκοριστικῶς λέγει. ὀνομάζει δὲ ἀπὸ μέρους τὸ δικαστήριον, ὡς καὶ πρότερον κλεψύδραν αὐτὸ εἴρηκεν, ἀπὸ τοῦ κειμένου ἐν αὐτῷ ἀγγείου, πρὸς ὃ οἱ ῥήτορες ἔλεγον.

ἐπὶ τοὺς καδίσκους : Τοὺς κάδους ὅπου αἱ ψῆφοι. καδίσκους εἶπεν ὑποκοριστικῶς τὰς κάλπεις, ἔνθα τὰς ψήφους καθίεσαν δικάζοντες. ἐκ τούτου δὲ δηλοῖ τὴν ἐπὶ τὸ δικαστήριον ἄφιξιν.)

322. (κακόν τι ποιῆσαι : Καταδικάσαι τινά.)

324. (καπνὸν ἐξαίφνης : Ὥστε διὰ βραχύτητα τῶν ὀπῶν τὴν ἔξοδον ποιήσασθαι.)

325. ἢ τὸ Σέλλου : Ἐπεὶ καπνὸν εἶπεν, ἐπήνεγκε τούτους ὡς πτωχαλαζόνας, οὓς λέγουσι καπνοὺς, Προξενίδην καὶ Αἰσχίνην τὸν Σέλλου. καὶ ἐν Ὄρνισι [1126] μέμνηται Προξενίδου ὡς ἀλαζονικοῦ.

326. (ψευδαμάμαξυν : Εἶδος ἀμπέλου ἡ ἀμάμαξυς, ἣν λέγουσιν ἀναδενδράδα. ὅλον δὲ εἴρηται παρὰ τὸ ψεύδεσθαι τὸν Αἰσχίνην καὶ ψοφώδη κομιδῇ λέγειν. καὶ τὸ ξύλον γὰρ τῆς ἀμαμάξυος καιόμενον ψόφον ἀποτελεῖ. διατινθαλέῳ δὲ διαθέρμῳ.) — θερμῷ. V.

329. (σπόδισον ταχέως : Πλῆξον, καῦσον ὡς ἐν σποδῷ.)

330. (κἄπειτ' ἀνελών μ' ἀποφυσήσας : Τῶν γὰρ ἀπανθρακιζομένων ἰχθύων ἀποφυσῶσι τὴν σποδόν. ἢ παρόσον ἐν τῷ ὀπτᾶν φυσῶσιν, ἵνα πλέον ἐγερθῇ τὸ πῦρ καὶ θᾶττον γένηται.)

331. (εἰς ὀξάλμην : Ὡς ἐπὶ ἰχθύων ὀπτῶν ὀξάλμῃ ἐσθιομένων.)

332. (τὰς χοιρίνας : Ἐν τῷ τῶν Ἱππέων δράματι εἴρηται [ad v. 1150] ὅτι χοιρίναις ἐχρῶντο πρὸ τῶν ψήφων οἱ δικασταί. ἦσαν δὲ κόγχαι τινὲς, ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσι. — τὰς δικαστικὰς ψήφους. εἰσὶ δὲ ὥσπερ κογχύλια λεπτὰ, οἷς πρότερον ἐχρῶντο ἀντὶ ψήφων οἱ δικασταὶ πρὸ τῆς εὑρέσεως τῶν κυάμων. οἱ δέ φασι καὶ παρὰ τὰς πέτρας αὐτὰς ἔχειν τὴν ὀνομασίαν, ἐξ ὧν ἐκλέγονται τὰ κογχύλια. χοιρίδες δὲ αἱ πέτραι. V.)

333. (ταῦτά σ' εἴργων : Τὸ εἶναι σὺν ἡμῖν καὶ δικάζειν. ὕφεσθε δὲ ὑποχαλᾶτε. ἐκ μεταφορᾶς τῶν πλοίων.)

338. (τοῦ δ' ἐφέξειν : Γράφεται καὶ ὑφέξειν, οἷον τί ὑπισχνούμενός σοι ἐπίσχει σε, ἢ τίνος χάριν; παρὰ δὲ τοῖς τραγικοῖς ἔφεξις ἡ πρόφασις. τί προφασιζόμενος συγκλείει σε; καὶ τὸ παρ' Ὁμήρῳ [Od. Φ, 70] « οὐδέ τιν' ἄλλην μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε »). — τίνος ἕνεκεν. R.

341. (ἐγὼ δ' οὐ βούλομαι : Δείκνυσιν ἐντεῦθεν τὸ φιλόδικον αὐτοῦ. χανεῖν δὲ ἀντὶ τοῦ εἰπεῖν.)

342. (ὁ Δημολογοκλέων : Ὁ τύραννος καὶ ἀρχοντιῶν. συνέθηκε τὴν λέξιν ἐκ τοῦ δήμου καὶ τοῦ λόγου καὶ τοῦ Κλέωνος, δηλῶν τὸ ἀρχικὸν, καθάπερ ἐν τῷ δήμῳ ἄρχειν. τοῦτο δὲ εἴρηκε διὰ τὸ τὸν Κλέωνα πολυλόγον εἶναι καὶ τοῖς λόγοις ἐξαπατᾶν τὸν δῆμον. ἐπὶ δὲ τὸ αὐτὸ ἦθος κατενήνεκται, ἐπεὶ ὁ χορὸς τοῦ Κλέωνος ἐτύγχανεν.)

343. (ὅτι λέγεις : Ὅτι ἀληθὲς λέγεις περὶ τῶν τριήρων, οἷον παρρησίαν ἄγεις περὶ τοῦ δήμου. μελετᾷ δὲ ὁ χορὸς κακουργίαν, φάσκων, ἐπειδὴ ὑπὲρ χρησίμου τῆς πόλεως λέγεις, εἰσηγούμενος περὶ τριηραρχίας, ἐγκλείει σε. τινὲς δὲ οὕτως· εἴ τι εἴποις κακὸν περὶ τῶν νεῶν, τοῦτο ἀληθές ἐστι. διαβάλλει δὲ τοῦτον. οὐ γὰρ περὶ νεῶν ἐστιν ὁ λόγος, ἀλλὰ περὶ τοῦ μὴ δικάζειν αὐτόν. ξυνωμότας δὲ ἔλεγον τοὺς ἐπὶ καταλύσει τοῦ δήμου συνερχομένους. δεῦρο δὲ πρὸς ἡμᾶς.)

346. τῶν ἐπὶ καταλύσει τοῦ δήμου. R.

349. (οὕτω κιττῶ : Ἐπιθυμῶ, ἀπὸ τῶν ἀρτίως τικτουσῶν γυναικῶν καὶ ἐπιθυμουσῶν τινῶν. εἴρηται δὲ

ἐκ τοῦ ὀρνέου τῆς κίττης, ὅπερ ἐπιθυμητικῶς ἔχον τῶν ἀκροδρύων ταχέως δυσαρεστεῖται, ἐξ ὧν δ' ἂν ἐσθίοι, καὶ πάλιν ἑτέρων ἐπιθυμεῖ, καὶ μεταβάσεις ποιεῖται εἰς ἕκαστον τῶν δένδρων.

διὰ τῶν σανίδων : Τῶν δρυφάκτων τῶν ταβλωτῶν τοῦ δικαστηρίου, ἵνα λέγῃ ἐπιθυμῶ ἐν τῷ δικαστηρίῳ ἐλθεῖν. ἢ σανίδων φησὶ τῶν περιεχουσῶν τὰ ὀνόματα τῶν εἰσαχθησομένων εἰς τὸ δικαστήριον, ποῖον δεήσει πρῶτον εἰσαχθῆναι καὶ κατὰ τάξιν.)

351. ὅτι τὸ παλλάδιον δι' ὑδρορρόας εἰσῆλθον οἱ περὶ τὸν Ὀδυσσέα. R.

352. οὐδ' εἰ σέρφῳ : (Ὅτι ἐν Ὄρνισι [82] τινὲς τὸ « εὕδει καταφαγὼν μύρτα καὶ σέρφους » ἐξηγοῦνται καρπὸν τὸν σέρφον. ἔστι δὲ θηρίδιόν τι μικρόν. Κράτης δὲ μύρμηκα φησὶ τὸν σέρφον. οἱ δὲ ζωΰφιον κωνωπῶδες, ἀφ' οὗ ἡ παροιμία

ἔνεστι κἀν μύρμηκι κἀν σέρφῳ χολή·

παρεγγυῶσα μηδὲ τῶν μικρῶν καταφρονεῖν.) — σέρφῳ : παροιμία « οὐδὲ μύρμηκι ὁδός ἐστι. » R.

353. (ὀπίαν δ' οὐκ ἔστι : Παρὰ τὴν ὀπὴν τὸ ὄνομα. καὶ τυρὸν δὲ λέγουσι ὀπίαν τὸν τῷ ὀπῷ τῆς συκῆς πηγνύμενον.)

354. (μέμνησαι δῆθ' : Ὑπομιμνήσκει αὐτὸν παλαιᾶς πράξεως τόλμαν.)

355. (ὅτε Νάξος ἑάλω : Τὴν Νάξον ἐπιτετήρηκε πρὸς τὸν γέροντα. ἑάλω γὰρ ἐπὶ Πεισιστράτου. τοῦ δὲ ἑάλω ἐκτείνουσι τὸ α συνήθως. ἔστι δὲ μία τῶν Κυκλάδων νῆσος.)

357. ἰσχυρότερος (ἰσχυρὸς G.) ἐτύγχανον. V.

361. σκοπιωροῦνται : Κατοπτεύουσι καὶ παραφυλάττουσιν. (Ἕρμιππος δὲ καὶ ἐπὶ τοῦ ἀπὸ τῆς σκοπῆς θεωρεῖν.)

364. ἔχοντ' ὀβελίσκους : Τὸ πλῆρες ἔχοντε, δυϊκῶς. δύο γάρ εἰσιν οἱ [ἔχοντες ὀβελίσκους καὶ] τηροῦντες. V. Vict.

365. [ἀλλὰ νῦν ἐκπόριζε : Ἡ ἀμοιβαία αὕτη στροφὴ ἔοικεν εἶναι ἀντιστροφὴ τῆς ἄνω ῥηθείσης ὁμοίας στροφῆς, ἀλλ' ἔστιν ἐλλιπής. στίχων γάρ ἐστι καὶ κώλων ὀκτὼ, ὧν τὸ πρῶτον τροχαϊκὸν τετράμετρον καταληκτικόν. τὸ β' ἰαμβικὸν δίμετρον ἀκατάληκτον καὶ τὸ ς'. τὰ δ' ἄλλα ὅμοια τῷ πρώτῳ. ἐπὶ τῷ τέλει κορωνίς.]

366. (ἕως γὰρ ὦ μελίττιον : Ὄρθρος γὰρ, ὦ προσφιλέστατον μελίττιον. δηλοῦσι γὰρ ὅτι ἡμέρα γέγονεν.)

ἕως : Ἕως ὄρθρος ἡμέρα, ἀπὸ τοῦ ἕως ταύτῃ ἡμᾶς κατακεκλεῖσθαι, ἢ διὰ τὸ ἵεσθαι ἐν αὐτῇ. *Vict.*

368. (ἡ δέ μοι Δίκτυννα : Πρὸς τὴν Ἄρτεμιν τοῦτο, ἐπειδὴ ἀγρευτὶς ἦν. παρὰ δὲ τὸ ὄνομα γελοιάζει. παρὰ γὰρ τὸ δίκτυον ἐπήγαγε τὸ Δίκτυνναν Ἄρτεμιν ἵλαον ἔσεσθαι.)

369. (ἄνοντος : Ἀντὶ τοῦ ἀνύοντος τὰ πρὸς σωτηρίαν καὶ εὑρίσκοντος. τὸ δὲ ἄνοντος γίνεται παρὰ τὸ ἄνω βαρύτονον, οὗ τὸ τρίτον τοῦ παθητικοῦ ἐνεστῶτος ἄνεται. ὡς τὸ [Il. K, 251] « μάλα γὰρ νὺξ ἄνεται. »)

370. (ἔπαγε τὴν γνάθον : Ἀντὶ τοῦ δάκε τῇ γνάθῳ τὸ δίκτυον. τοῖς δικτύοις ἔπαγε τὴν γνάθον καὶ διάκοψον αὐτά.)

374. δακεῖν : Ἀντὶ τοῦ δηχθῆναι καὶ λυπηθῆναι. ἀντὶ τοῦ ἐκφυγεῖν σώσαντα τὴν καρδίαν. *Vict.*

375. (τὸν περὶ ψυχῆς : Ἤγουν ἐκφυγεῖν σώσοντα τὴν ψυχήν.)

376. (ἵν' εἰδῇ μὴ πατεῖν : Καὶ τοῦτο ὡς φιλόδικος. ἔγκλημα δὲ ἦν ὑβρίσαι τὰ μυστήρια. ἢ οὖν πάλιν πλέκει αὐτῷ, ἢ δείκνυσιν ὡς οὐ χρὴ τὰ μυστήρια εὐτελίζειν, οὕτως οὐδὲ ταῦτα ποιεῖν.)

πατεῖν : Ὑβρίζειν. *Vict.*

377. τὰ ταῖν θεαῖν ψηφίσματα : Ἀντὶ τοῦ τὰ ταῖν θεαῖν μυστήρια εἰπεῖν, ψηφίσματα εἶπεν, ὡς δέον οὐχ ἧττον περὶ ταῦτα ἢ περὶ ἐκεῖνα ἐσπουδακέναι. καθίμα δὲ ὑποχύλα.) — ἀντὶ τοῦ ὄργια. R.

379. καθίμα : Χάλα. *Vict.*

380. καὶ τὴν ψυχὴν ἐμπλησάμενος : Ὡς παράστημά τι τοῦ Διοπείθους ἔχοντος μανιῶδες. ἦν δὲ ὁ Διοπείθης ῥήτωρ. (μήποτε δὲ οὗτός ἐστιν ὁ καὶ παρὰ Φρυνίχῳ.)

381. καλαμᾶσθαι : (Ἀναρπάσαι, ἀπὸ τῶν τὴν καλάμην [τῶν σπερμάτων] ἀνασπώντων, ἕνεκα στέγης τῶν οἰκημάτων. ἢ ἀντὶ τοῦ ἀνιμᾶν, ὡς οἱ τοῖς καλάμοις τοὺς ἰχθύας ἀνέλκοντες.) — ἀπὸ μεταφορᾶς τῶν ἰχθύων τῶν ἑλκομένων καλάμοις. R. — (τὸν πρινώδη δὲ τὸν σκληρόν· ἀπὸ τοῦ ξύλου τοῦ πρίνου.) — παρόσον πρίνου καὶ σχοίνου καὶ ἐλαίας θερμότατον πῦρ. R. (μανθάνετε δὲ σκοπεῖτε. τὸ δὲ ἤν τι πάθω, ἀντὶ τοῦ ἐὰν συμβῇ με πεσόντα ἀποθανεῖν.)

385. δράσω τοίνυν : Βούλεται εἰπεῖν τι αὐτοῖς. καὶ μανθάνετε : Ἀντὶ τοῦ οἴδατε τί ποιήσατε. *Vict.*

386. ἀνελόντες καὶ κλαύσαντες : Ἐὰν συμβῇ με πεσόντα ἀποθανεῖν, ἐν τῷ δικαστηρίῳ με θάψατε. δρύφακτοι γὰρ ξύλινοι θώρακες, τὰ διαφράγματα, ἢ τὰ περιτειχίσματα, ἢ κιγκλίδες, περιφράγματα, τὰ νῦν ταβλωτὰ καλούμενα, τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. ἐνταῦθα δὲ τὰ ταβλώματα τοῦ δικαστηρίου, διὰ τὸ ἐκ σανίδων καὶ ξύλων τῶν ἐκ δρυὸς εἶναι κατεσκευασμένα. λέγει δὲ ἀπὸ μέρους τὸ δικαστήριον.)

389. πρὸς τοῖς δικαστηρίοις Λύκος ἥρως ἵδρυτο. ἔθυον δὲ αὐτῷ καὶ ἀπένεμον δικαστικὸν μισθόν. R. (ὦ Λύκε δέσποτα : Παρὰ τοῖς δικαστηρίοις τὸ τοῦ Λύκου ἡρῷον. ὅθεν φασὶν εἰρῆσθαι Λύκου δεκάς. Ἄλλως. Λύκου ἡρῷον πρὸς τῷ δικαστηρίῳ ἦν, ᾧ ἐμέριζον, ὅτε δικαστήρια ἦν, τὸν παρὰ τοῖς λαχοῦσι τῶν Ἀθηναίων δικάζειν δικαστικὸν μισθὸν τριώβολον.)

κεχάρησαι : Χαίρει οἷς καὶ ἐγώ. *Vict.*

390. φευγόντων : Τῶν κατηγορουμένων. *Vict.*

392. παρὰ τὸν κλάοντα καθῆσθαι : Ὡς τῶν καταδικασθέντων εὐθὺ πρὸς τὸ ἡρῷον ἀποκλαόντων. εὐφημότερον δὲ λέγουσιν ἀντὶ τοῦ κλάων καθῆστο.

394. κάννας : (Τὰς ψιάθους. λέγεται δὲ καὶ κάνης καὶ κλίνεται τοῦ κάνητος. ὡς) ψιάθοις δὲ περιπεφρα-

γμένου τοῦ ἡρῴου καὶ ἐστεγασμένου (φησὶν, οὐ παρὰ κάννας οὐρήσω. τουτέστιν οὐκ ἐνυβρίσω σου τὸ ἡρῷον, ἀλλὰ τιμήσω). — Ἄλλως. ὅταν θυσιάσωσι, περιφράσσουσι ψιάθους καννα6ίνας. κάννας δὲ ἔφη τὰς ψιάθους. V.

398. (ἀνάβαιν' ἀνύσας : Τῷ οἰκέτῃ φησὶ, διὰ τοῦ ἑτέρου μέρους ἀνάβαινε.)

καὶ ταῖσι φυλλάσι : Ἐπεὶ κλάδοις τισὶ παρακελεύεται παίειν αὐτὸν τοῖς πρὸ τῆς οἰκίας, διὰ τοῦτο ταῖς εἰρεσιώναις εἶπε. τὸ δὲ πρύμναν κρούσασθαι φασί τινες λέγεσθαι, ὅταν μετακαθίσαντες οἱ ἐρέται ἐλαύνωσιν (ὀπίσω) ἐπὶ τὴν πρύμναν, ὅταν εἰς λιμένα εἰσέρχωνται, ἵνα τὴν πρύμναν (εἰς γῆν ἔχωσι νεύουσαν, καὶ τὴν πρῷραν ἔξω, ὅπως ἂν εὐτρεπὴς εἴη εἰς ἔξοδον ἡ ναῦς. τοῦτο οὖν φησι, παῖε αὐτὸν τοῖς κλάδοις, ὅπως ἂν ἀνακρούσηται τὴν πρύμναν, τουτέστιν εἰς τοὐπίσω ἀναδράμῃ. ἀνακρούειν γάρ ἐστι τὰς κώπας τὸ ἐπέχειν τοῦ δρόμου τοῦ εἰς τὸ ἔμπροσθεν τὴν ναῦν. εἰρεσιώναις δὲ ἁπλῶς τοῖς ξηροῖς κλάδοις.)

400. τῆτες : Ἐπ' ἔτος. *Vict.*

401. (ὦ Σμικυθίων : Τοὺς τοῦ χοροῦ ἐξ ὀνόματος καλεῖ. κολαζόμεθα δὲ ἀντὶ τοῦ κολάζομεν.)

404. τὸ τῶν σφηκῶν σύστημα. V.

408. ἀποδυσάμενοι διδόασι τοῖς παιδίοις τὰ ἱμάτια, ἵνα ὀρχήσωνται εὐκόλως. R.

411. ἄνδρα μισόπολιν : Τὸν Βδελυκλέωνα. *Vict.*

412. κἀπολούμενον : ὀφείλοντα ἀπολεῖσθαι. *V. Vict.*

415. [ὦ 'γαθοὶ τὸ πρᾶγμα : Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων μη', ὧν οἱ πρῶτοι τρεῖς τροχαϊκοὶ τετράμετροι καταληκτικοί. οἱ ἑξῆς δύο ἀντισπαστικοὶ τρίμετροι ἀκατάληκτοι ἐπιμεμιγμένοι ἐπιτρίτοις καὶ διιάμβοις. οἱ ἑξῆς τούτων ὀκτὼ τροχαϊκοὶ τετράμετροι ὅμοιοι τοῖς πρώτοις. οἱ τούτων ἑξῆς β' ἀντισπαστικοὶ τρίμετροι ὅμοιοι τοῖς ῥηθεῖσιν. ὁ β' δὲ τὸν β' ἔχει πόδα πεντασύλλαβον. οἱ ἑξῆς δὲ πάντες τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ, ὧν τελευταῖος

εἴπερ ἔτυχον τῶν μελέων Φιλοκλέους βεβρωκότες.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

ἀλλὰ μὴ κεκράγατε : Ταῦτα, ἵνα ἀποδὺς ὀρχήσηται ὁ χορὸς καὶ ἀπέλθωσιν οἱ παῖδες.

416. ἐς τὸν οὐρανόν : [Λείπει] κεκράξομαι. *V. Vict.*

418. θεοσεχθρία : Θεομισητία. V. (καὶ Ἄρχιππος ἐν Πλούτῳ « οἴμοι. τί ἔστι; μῶν ἔδωκε; τί σ' ἔδακεν; « κατὰ μὲν οὖν ἔφαγε, κἀπέβρυξε τίς ἡ πανουργία τε « καὶ θεοσεχθρία. » ταῦτα δέ φησιν, ὡς τοῦ Κλέωνος καὶ τοῦ Θεώρου προστατῶν αὐτῶν ὄντων.) — περὶ Θεώρου καὶ Γοργίου ἐν τοῖς πρὸ τούτου εἴρηται. V.

421. (ἐν δίκῃ τὸν Γοργίου : Ἐν τῇ δίκῃ. ἀντὶ τοῦ δικάζοντες. οὗτος δὲ ὁ Γοργίας κωμῳδεῖται ὡς προδότης καὶ βάρβαρος.)

425. (σμῆνος οἷον : Κυρίως τὸ πλῆθος τῶν μελισσῶν. ἐπιτηδείως δὲ καὶ ἐνταῦθα τοῦτο εἶπεν, ὅτι σφηκῶδες τὸ σύστημα τῶν γερόντων.)

427. ἀντὶ τοῦ κέντρα. V.

429. (τὰς χελώνας : Ὅτι μᾶλλον μακαρίσεις τὰς χελώνας τοῦ σοῦ δέρματος. αἱρῇ χελώνης δέρμα ἔχειν, ἵνα μὴ τρωθῇ. ὀστῶδες γὰρ ἔχουσι δέρμα αἱ χελῶναι, ὥστε ἀντέχειν πρὸς τὰς πληγάς.)

433. (ὦ Μίδα καὶ Φρύξ : Ὀνόματα οἰκετῶν.)

435. (εἰ δὲ μὴ 'ν πέδαις παχείαις : Εἰ δὲ μὴ βοηθήσετε, δέον εἰπεῖν, ἐν πέδαις κάμψεσθε, ὁ δὲ εἶπεν, οὐδὲν ἀριστήσετε. ἀντὶ τοῦ δεσμευθέντες οὐδὲν μέλλετε φαγεῖν.)

436. οἶδα θρίων τὸν ψόφον : Ὅτι παρὰ τὴν παροιμίαν

πολλῶν ἐγὼ θρίων ψόφους ἀκήκοα.

τὰ γὰρ θρῖα καιόμενα ψοφεῖ. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν δι' ἀπειλῆς θόρυβον καὶ κόμπον ἐμποιούντων διακενῆς.

437. ἔν τί σοι : Κέντρον. *Vict.*

438. ὦ Κέκροψ : Ὁ Φιλοκλέων ἑλκόμενος ὑπὸ τῶν οἰκετῶν, τὸν οἰκιστὴν τῆς πόλεως ἐπικαλεῖται. εἰσὶ δὲ οἵ φασι τὸν Κέκροπα διφυᾶ γεγονέναι, καὶ τὰ κάτω ὄφεως ἐσχηκέναι. καὶ διὰ τοῦτο πρὸς τὸ ὄνομα κεχαριέντισται.

439. ἀνδρῶν βαρβάρων : Τῶν οἰκετῶν. *Vict.*

(440). οὓς ἐγὼ 'δίδαξα : Μή ποτε καὶ τοῦτο παροιμιακόν. ἀντὶ δὲ τοῦ εἰπεῖν πέττειν καὶ διαρτίζειν, κλάειν εἶπεν.

ἐς τὴν χοίνικα : Ὅτι εἰς τὴν χοίνικα τέσσαρες μεγάλοι ἄρτοι γίνονται, μικροὶ δὲ η'. δι' ὧν δὲ αὐτοὺς ὑπομιμνήσκει παλαιᾶς εὐεργεσίας, διὰ τούτων αὐτοὺς ἐλέγχει [ὡς μαστιγίας καὶ ἀνδραποδώδεις. οὐ γὰρ μόνον τὸ μέτρον, ἀλλὰ καὶ τὰς πέδας σημαίνει τὸ ὄνομα].

442. τούτω : Δυϊκῶς τὸ τούτω, ἵν' ᾖ ἐπὶ τῶν οἰκετῶν. *Vict.*

443. ἀντὶ τοῦ χειροῦνται. R.

444. (κἀξωμίδων : Ἱμάτια δουλικὰ καὶ ἑτερομάσχαλα.)

445. καὶ κυνᾶς : Ταῖς κυνείαις περικεφαλαίαις πρὸς τὸν ὄμβρον ἐχρῶντο. καὶ ἐν ταῖς Νεφέλαις [268] ὁ πρεσβύτης τὸν ὄμβρον φοβούμενος

τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα.

446. (ὥστε μὴ ῥιγῶν : Ἀντὶ τοῦ ῥιγοῦν. Δώριον δὲ τοῦτο κατακρατῆσαν παρὰ Ἀττικοῖς.)

449. (τοὺς βότρυς κλέπτοντα : Ὡς παλαιῶν ἀναμιμνήσκων αὐτὸν εὐεργεσιῶν, παρὰ τὴν ὑπόνοιαν αἰκίαν εἰς αὐτὸν γινομένην λέγει, δεικνὺς καὶ ἐν τούτῳ τὸ σκληρὸν αὐτοῦ.)

453. (ἀλλὰ τούτων μέν : Ἀντὶ τοῦ ὑπὲρ τούτων. ἢ δυϊκῶς χωρὶς τοῦ ν ἀντὶ τοῦ οὗτοι.)

455. (κάρδαμα : Ἀντὶ τοῦ δριμύτατα. τοιαῦτα γὰρ τὰ κάρδαμα. τῦφε δὲ καίων δίωκε. ὁ γὰρ καπνὸς διώκει τὰς μελίσσας καὶ τοὺς σφῆκας.)

458. σοῦσθε : (Ὁρμᾶσθε, πορεύεσθε.) — τοὺς σφῆκας ἀπελαύνουσι σοῦσθε λέγοντες. R.

459. (καὶ σὺ προσθεὶς Αἰσχίνην : Ἀντὶ τοῦ καπνὸν εἰπεῖν ἢ πῦρ, Αἰσχίνην εἶπεν, ἐπεὶ Καπνὸς ἐκαλεῖτο. Ἄλλως. παίζει παρὰ τὸν Σέλλου Αἰσχίνην, καπνώδη διὰ τὴν ἀλαζονείαν. ἀντὶ δὲ τοῦ εἰπεῖν Σέλλου, ἔπαιξεν ἐπεκτείνας Σελαρτίου, ἵνα πάλιν ὡς καπνὸν κωμῳδήσῃ καὶ ψευδόπλουτον, παρὰ τὸ σέλας. ὁ γὰρ καπνὸς τοῦ σέλαος γέννημα.) — ἐπειδὴ οἱ σφῆκες φοβοῦνται τὸν καπνόν. V.

462. τῶν μελέων Φιλοκλέους βεβρωκότες : Ὡς αὐστηροῦ κατὰ τὴν μελοποιίαν ὄντος. R. (ὡς τοῦ Φιλοκλέους ἀγρίου ὄντος ἐν τῇ μελοποιίᾳ. ὁ Σοφοκλῆς γὰρ ἡδύς· διὸ καὶ μέλιττα ἐκαλεῖτο. ἔπαιξεν οὖν, ὡσεὶ εἶπεν· εἴπερ τὴν πικρίαν αὐτοῦ καὶ τὴν σκληρότητα εἶχον, οὐκ ἂν αὐτοὺς ῥᾳδίως διέφυγες, ὡς τοῦ Φιλοκλέωνος ὄντος σκληροῦ σφόδρα καὶ τραχυτάτου.)

463. (οὐκ αὐτὰ δῆλα : Οὐκ αὐτὴ, φησὶν, ἡ τυραννὶς ἐπιδήλως κατὰ τοῦ δήμου ἐστὶ καὶ καθ' ἡμῶν.)

465. ὑπιοῦσα : Ὑπεισερχομένη ἡ τυραννίς. *Vict.*

466. (πονωπόνηρε : Ὦ ἀσκήσει καὶ μελέτῃ πεπονημένε τῆς τυραννίδος. τὸ δὲ Κομηταμυνία συνέθηκεν παρὰ τὸ κομᾶν, ὅπερ ἐστὶ φρονεῖν μέγα· ἐκ δὲ τούτου δηλοῖ τὸ λακωνίζειν, παρόσον μέγα ἐφρόνουν οἱ Λάκωνες εἰς ἀνδρίαν· καὶ παρὰ τὸν Ἀμυνίαν, ὃς διεβάλλετο ὡς μισόδημος. ἀμφότερα οὖν τὰ τῆς συνθέσεως εἰς οὐδὲν τείνει. ἢ ὡς ἐναντίον ὄντα τῆς πόλεως καὶ τύραννον.) ὡς πονηρὸν ὄντα τὸν Ἀμυνίαν καὶ κομῶντα. R.

467. τοῦ δικάζειν. V.

469. (λόγον εὐτράπελον : Ἀπολογίαν πιθανὴν καὶ εὖ τετραμμένην.)

470. (αὐτὸς ἄρχων : Προκατάρχων τῆς τυραννίδος μόνος. κατοξείας δὲ σφοδρᾶς καὶ ὀξείας.)

471. κατοξείας : Τῆς σφοδρᾶς καὶ τῆς ὀξείας. *Vict.*

475. (καὶ ξυνὼν Βρασίδᾳ : Ἀντὶ τοῦ λακωνίζων. ὅτι οἱ λακωνίζοντες τοιαῦτα ἐπετήδευον, ὥστε μακρὰ τὰ κράσπεδα φορεῖν, ὅ ἐστι τοὺς κροσσούς. φαίνεται οὖν τὸ λεγόμενον εἶναι ὡς λακωνίζων. καὶ Βρασίδας γὰρ στρατηγὸς Λακεδαιμονίων. ἐκ στεμμάτων δὲ ἀντὶ τοῦ ἐξ ἐρίων. οὐχ ἱμάτια δὲ, ἀλλὰ κράσπεδα στεμμάτων. τοιαῦτα γὰρ φοροῦσιν οἱ Λάκωνες.) — ὅτι ἀρχαῖοι στέφανοι κατὰ τὸ ὄπισθεν μέρος κράσπεδα εἶχον. R.

478. ἐκστῆναι τὸ παράπαν τοῦ πατρός : Ἀντὶ τοῦ μὴ ἔχειν τὸν πατέρα. *V. Vict.*

479. (ναυμαχεῖν : Δέον εἰπεῖν μάχεσθαι.)

480. οὐδὲ μέν γ' οὐδ' ἐν σελίνῳ : (Παροιμία ἐπὶ τῶν μηδὲ κατὰ τοὐλάχιστον διηνυκότων οἷς ἐπέθεντο. μετενήνεκται δὲ ἀπὸ τῶν κήπων. ἐν γὰρ τοῖς λεγομένοις περικήποις τὰ σέλινα καὶ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν, οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος, καθάπερ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν. Ἄλλως. ἀντὶ τοῦ ἐν γυμνικῷ ἀγῶνι, ἤγουν οὐκ ἐν παιδιᾷ·) παρόσον τὰ βρέφη γεννηθέντα εὐθὺς ἐν σελίνοις ἐτίθεσαν. (τὸ δὲ πήγανον εἶπεν, ἐπειδὴ καὶ σέλινον προέταξεν. ὅθεν καὶ ἡ παροιμία « οὐδ' ἐν σελίνοις εἰσί. » φησὶν οὖν ὅτι οὔπω σοι οὐδὲ ἀρχὴ γέγονε τῶν παρ' ἡμῶν ἐσομένων.)

481. τῶν τριχοινίκων ἐπῶν : Ἀντὶ τοῦ τῶν εὐτελῶν. (τὰ τοιαῦτα παρὰ τὰς φωνὰς παίζει, φορτικοῦ ὄντος ἀγοραίοις, ἐφ' οἷς μάλιστα τῶν ποιητῶν σκώπτουσιν Ἄρχιππον. Ἄλλως. ἀντὶ τοῦ τῶν εὐτελῶν στίχων. τοῦτο δέ φησιν, ἐπεὶ ἐξ εὐτελοῦς παροιμίας ἤρξατο τῆς τῶν κήπων. τριχοινίκων οὖν ἀντὶ τοῦ τριῶν χοινίκων ἀξίων. ξυνήγορος δὲ ῥήτωρ. καταντλῇ δὲ καταχέῃ, κατηγορῇ.)

482. ξυνήγορος : Ὁ ῥήτωρ. *Vict.*

483. (καὶ ξυνωμότας : Ὡς αὐτῶν συνεχῶς λεγόντων ὅτι ταῦτα τυραννίς ἐστι καὶ ξυνωμοσία. οὐδὲν ἄλλο, φησὶ, μεμελέτηται ὑμῖν εἰ μὴ ταῦτα. δέρεσθαι δὲ καὶ δέρειν ἐπὶ τοῦ τύπτεσθαι.)

ξυνωμότας : Πληθυντικὸν ἀντὶ ἑνικοῦ. *Vict.*

486. (ἕως ἄν τί μου : Ἀντὶ τοῦ ἕως ἂν λείψανόν μου ὑπολείπηται.)

ἕως — ἄν τί μου λοιπὸν ᾖ : Ἀντὶ τοῦ ἕως λείψανόν μου ὑπολείπεται. *Vict.*

488. ὅστις ἐπὶ τυραννίδ' ἐστάλης : Ὅστις ἐστάλης ἐπὶ τῷ τυραννῆσαι ἡμῶν. *Vict.*

490. (πεντήκοντ' ἐτῶν : Ἀντὶ τοῦ εἰς πεντηκοστὸν ἔτος καὶ ἐκ πολλοῦ χρόνου οὐκ ᾔδειν τοῦτο τὸ ὄνομα τῆς τυραννίδος.)

491. (ἀξιωτέρα : Εὐωνοτέρα καὶ ἐν ἀγορᾷ εἰθισμένη λέγεσθαι. κυλίνδεται δὲ περιφέρεται.)

493. ὀρφῶς : Εἶδος ἰχθύος. τὸ ὀρφὼς καὶ λαγὼς περισπῶσιν Ἀττικοί. R. (ἐν τοῖς πλείστοις ὀρφῶς, ἔν τισι δὲ ὀρφούς. μήποτε δὲ καὶ τὸ ἑνικὸν τοῦ ἰχθύος οὕτως ἔλεγον, ὀρφὼς, ὡς λαγὼς καὶ ταώς. μεμβρὰς δὲ εἶδος ἀφύας.)

496. (ἥδυσμά τι : Πρὸς τὸ γήτειον, ὅτι ἥδυσμά ἐστιν· οὐχ ὡς ἔν τισιν ἀναγραφαῖς τῶν λέξεων, ἀνθερίκῳ τι ὅμοιον. ἐν Ἱππεῦσι δὲ [674] εἴρηται περὶ αὐτοῦ. ἔστι γὰρ εἶδος βοτάνης παρεοικὸς πράσῳ.)

497. (παραβλέψασά φησι : Τῷ ἑτέρῳ ὀφθαλμῷ αὐτόν φησι χαλεπῶς ὑποβλεψαμένη φησὶ, σοῦ ἐστι τοῦτο φαγεῖν, ὡς οὐκ ἄξιον ἡγουμένη τὸν τυχόντα φαγεῖν γήτειον.)

499. (ἢ νομίζεις τὰς Ἀθήνας : Φησὶν ὅτι διὰ σὲ φύουσιν αἱ Ἀθῆναι ἡδύσματα.)

502. (εἰ τὴν Ἱππίου καθίσταμαι : Ἀντὶ τοῦ εἰ καταστῆσαι βούλομαι ἐμαυτῷ τυραννίδα. οὗτος δὲ τύραννος δεινὸς, τοῦ πατρὸς Πεισιστράτου τυραννικώτερος. ὁ δὲ Ἱππίας ἐτυράννησεν, οὐχ ὁ Ἵππαρχος. κοινῶς δὲ πάντες οἱ Πεισιστρατίδαι τύραννοι ἐλέγοντο. παίζει δὲ ἅμα πρὸς τὸ τῆς συνουσίας σχῆμα. Ἄλλως. χαλεπὴ γὰρ ἡ Ἱππίου τυραννὶς ἐδόκει γεγονέναι, πολὺ τῆς τοῦ πατρὸς Πεισιστράτου χείρων. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν Λυσιστράτῃ [619]. εἰκότως δὲ τεσσάρων ὄντων κατ' ἐνίους τῶν Πεισιστρατιδῶν, τὸν Ἱππίαν παρέλαβεν. πρεσβύτατος γὰρ ἦν αὐτὸς καὶ τὴν τυραννίδα εἶχε, καθὰ καὶ

Θουκυδίδης [1, 20; 6, 54] φησί. δοκεῖ δὲ ἡ τυραννὶς καταστῆναι, ὥς φησιν Ἐρατοσθένης, ἐπὶ ἔτη ν', τοῦ ἀκριβοῦς διαμαρτάνων, Ἀριστοτέλους μὲν τεσσαράκοντα καὶ ἓν φήσαντος, Ἡροδότου δὲ [5,65] ἓξ καὶ τριάκοντα. κελητίζειν δὲ κυρίως τὸ κέλητα ἐλαύνειν. Ὅμηρος [Il. Ο, 679]

ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς.)

505. ὀρθροφοιτοσυκοφα.. : (Παρὰ τὸ ὀρθρεύειν καὶ φοιτᾶν καὶ συκοφαντεῖν καὶ ἐν δίκαις ταλαιπωρεῖν.) ὑφ' ἓν ὅλον. R.

506. (ζῆν βίον γενναῖον : Πρὸς τοὺς ἀψευδεῖς ποιήσαντάς τι τὸν Μόρυχον τῶν πολιτικῶν πεποίηκε πραγμάτων, ἀγνοήσαντας ὅτι τρυφερὸς καὶ ἡδύβιος κωμῳδεῖται. ἢ καὶ νῦν ἐν εἰρωνείᾳ. αἰτίαν δὲ μέμψιν καὶ ἔγκλημα.) — εὐγενῆ καὶ τρυφηλόν φασι τὸν Μόρυχον. V. Μόρυχος εἰς ὀψοφαγίαν καὶ ἡδυπάθειαν ἐκωμῳδεῖτο. ἐν Εἰρήνῃ [1008] φησίν. R.

507. (ταῦτα δρᾶν : Τὸ ἑξῆς, ἀπαλλαχθέντα τούτων πάντων ταῦτα δρᾶν.)

508. (ὀρνίθων γάλα : Παροιμία ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων, ὡς καὶ ἐκ τῶν ἀδυνάτων πόρους κομίζεσθαι. ἀδύνατον γὰρ ἐξ ὀρνίθων γάλα ποτὲ λαβεῖν. οἱ δὲ εὐδαιμονοῦντες καὶ τοῦτο, εἰ βουληθεῖεν, πορίσαιντο. βατὶς δὲ εἶδος ἰχθύος. καὶ βατιοσκόποι οἱ ὀψοφάγοι.)

ὀρνίθων γάλα : Οὕτως ἐπὶ τῶν σπανίων ἔλεγον. *Vict.*

510. βατίσιν : Εἶδός ἐστιν ἰχθύων. Vict.

511. (πεπνιγμένον : Δέον εἰπεῖν ἡψημένον, φησὶ πεπνιγμένον. ἀπὸ τοῦ συμβαίνοντος ὑπὸ τῶν δικαστῶν τοῖς δικαζομένοις.)

515. (καταγελώμενος μὲν οὖν : Αἰσθάνῃ καταγελώμενος ὑπ' ἀνδρῶν, οὓς οὐχὶ μόνον τιμᾷς καὶ σέβεις ὡς βελτίους, ἀλλὰ καὶ ὡς δεσπόταις ὑποτάττῃ. λέγει δὲ τοὺς δημαγωγούς, ὧν προστάξει δικάζουσιν, ὑφ' ὧν καὶ τὸν μισθὸν λαμβάνουσιν.) — οὐκ αἰσθάνῃ. περὶ τῶν δημαγωγῶν λέγει ὅτι ὀλίγον τι τῷ λεπτῷ ὄχλῳ μισθοδοτοῦντες τὰ μέγιστα αὐτοὶ ἐκέρδαναν. R.

517. (ἀλλὰ δουλεύων λέληθας : Ὅτι πρὸς τὰς ὑποσχέσεις τῶν δημαγωγῶν ἐδίκαζον καὶ ὑπηρέται ἦσαν αὐτῶν πρὸς τὸ ἐκείνων βούλημα δικάζοντες.)

520. καρπουμένῳ τὴν Ἑλλάδα : (Τοὺς φόρους γὰρ ἐλάμβανον οἱ Ἀθηναῖοι. ὁ δὲ λόγος·) τί σοι ἐκ τούτου Ἀθηναίῳ ὄντι πλέον γίνεται τὸ δικαστικὸν μόνον λαμβάνοντι; (οἱ γὰρ δημαγωγοὶ πάντα λαμβάνουσιν.)

521. τοῖς θεαταῖς (τῷ θεράποντι G.) δικάσαι καὶ ἐγὼ βούλομαι (ἐβουλόμην G.) V. G.

522. (ἄφετε νῦν ἅπαντες : Πρὸς τοὺς σφῆκάς φησιν ὅτι ἄφετε αὐτόν. ἢ πρὸς τοὺς οἰκέτας τοὺς κατέχοντας τὸν Φιλοκλέωνα.)

524. τῇ διαίτῃ : Τῇ κρίσει. *Vict.*

525. (μηδέποτε πίοιμ' : Δέον εἰπεῖν, ἄκρατον ἀγαθοῦ δαίμονος, τὸν μισθὸν εἶπεν, ὑπεμφαίνων τὸ φιλόδικον.

ἀγαθοῦ δαίμονος : Καὶ ἐν Εἰρήνῃ [300] « νῦν γὰρ ἡμῖν πάρεστιν ἁρπάσαι ἀγαθοῦ δαίμονος. » ἔθος δὲ ἦν, ὁπότε μέλλοι ἡ τράπεζα αἴρεσθαι, ἀγαθοῦ δαίμονος ἐπιρροφεῖν, ὥς Θεόπομπός φησιν. ὁ δὲ Ἀπολλόδωρος καὶ ὅτι τὸ ποτήριον μεστὸν πάλιν ἀπεπλήρουν, δεδήλωκεν ἐν τῇ δ' τῶν περὶ Σώφρονος.)

526. (ἐκ θημετέρου : Ἐκ τοῦ ἡμετέρου. τοῦτο δὲ πρὸς τὸν Φιλοκλέα, τὸν ἐκ τῆς αὐτῆς ἡμῖν παλαίστρας.)

527. ὅπως : τὸ πλῆρες τοῦ λόγου φανήσῃ καινόν τι λέγων. R.

528. ὅπως φανήσῃ : Λείπει γενναῖος, ἐγκρατής. V. *Vict.*

529. (ἐνεγκάτω μοι : Ὁ παῖς τοῦτό φησιν, ὡς ἐν τῇ κίστῃ γραμματείου τινὸς ὄντος, ὅπου τὰ κεφάλαια τῶν ὑπὸ τοῦ πατρὸς λεγομένων ἀνεγέγραπτο. ἵνα, φησί, λαβὼν χάρτην, ἀναγράψαιμι τῶν λεγομένων τὰ κεφάλαια.)

530. τὰ περὶ τοῦ δεῖν ἐκ παντὸς δικάζειν. R.

531. μὴ οὕτω λέγειν ὡς ὁ νεανίσκος. R.

(μὴ κατὰ τὸν νεανίαν : Τινὲς τοῦτο πρὸς τὰ ἄνω, ὅπως φανήσῃ μὴ κατὰ τόνδε λέγειν, ἀλλὰ δηλονότι πραγματικώτερον αὐτοῦ καὶ βέλτιον.)

538. μνημόσυνα : (Εἰς τὸ μνημονεῦσαι ἀπογράψομαι.) — τὰ κεφάλαια τῶν ὑπὸ τοῦ πατρὸς λεγομένων. R.

539. τὸ τέλειον φατέ, ἐὰν ἡττηθῶ. V.

540. τὸ σύστημα. V.

541. (οὐδ' ἀκαρῆ : Οὐδὲ βραχύ. οὐδὲ τὸ τυχόν.)

542. ὅτι τῷ σκώπτειν ὁμοίως ἡμῖν κέχρηται. οὐδὲν δὲ ἀναγκαῖον· δύναται γὰρ ἀντὶ τοῦ γέλωτα παρέχοντες. V.

544. (θαλλοφόροι : Ἐν τοῖς ὑπομνήμασιν οὕτω γέγραπται. θαλλοφόροι, ἀντὶ τοῦ ἐργάται. [Od. Ρ, 224 :] « θαλλόν τ' ἐρίφοισι φορῆναι. » οἱ γέροντες γὰρ τὰ τοιαῦτα ἐν ἀγρῷ οἰκονομοῦσιν. εὐχερεῖς δέ εἰσι περὶ ὧν μηδὲν ἔσχον εἰπεῖν σαφὲς ἀποσχεδιάζοντες. θαλλοφόρους γὰρ ἔφη, βουλόμενος τοὺς γέροντας δηλῶσαι, ἐπειδὴ ἐν τοῖς Παναθηναίοις οἱ γέροντες θαλλοὺς ἔχοντες ἐπόμπευον. ὡς οὖν εἰς οὐδὲν ὄντων χρησίμων αὐτῶν ἔξω τοῦ θαλλοφορεῖν, οὕτως αὐτοὺς ἐπέσκωψεν. ὁ μέντοι Δικαίαρχος ἐν τῷ Παναθηναϊκῷ οὐκ οἶδα ἐξ ὅτου ποτὲ καὶ τὰς γραῦς ἐν τοῖς Παναθηναίοις ὑπείληφε θαλλοφορεῖν, πολλῶν ἀλλήλοις ὁμολογούντων περὶ τοῦ μόνους τοὺς πρεσβύτας θαλλοφορεῖν, Ξενοφῶντος μὲν ἐν τῷ Συμποσίῳ [4, 17], Φιλοχόρου δὲ ἐν τῇ δευτέρᾳ, ὅς γε καὶ τὸν καταδόντα τὸ ἔθος Ἐριχθόνιον συνίστησι. μνημονεύει τοῦ ἔθους Κρατῖνος μὲν ἐν Δηλιάσι, Φερεκράτης δὲ ἐν Ἐπιλήσμοσιν.

ἀντωμοσιῶν : Τῶν δικῶν. ἀντωμοσίαι δὲ ἐκαλοῦντο, ὅταν ὁ ἐγκαλούμενος περὶ κλοπῆς ἐν τῷ δικαστηρίῳ ὀμωμόκῃ πρὸ δίκης, καὶ ὁ ἐνάγων δὲ αὐτὸν ἀντομωμόκῃ αὐτὸν εἶναι τὸν ληστήν. καὶ οὗτοι λοιπὸν μάρτυρες ἐκαλοῦντο.) — τὸ ἔγκλημα ἔλεγον ἀντωμοσίαν διὰ τὸ ἀντομνύναι τοὺς ἀδικοῦντας. R.

545. κελύφη : (Ἀντὶ τοῦ καλύμματα δικῶν, ἢ τῶν

ἐγκλημάτων. κελύφη δὲ τὰ τῶν ᾠῶν καλύμματα. ὡσεὶ ἔλεγεν ἀποβλήματα δικῶν.) — τῶν τραγημάτων λεπύριον, ἢ ὄστρακον. R.

546. (ἀλλ' ὦ : Ὁ χορὸς παραθαρσύνων τὸν Φιλοκλέωνα ταῦτά φησι. — ἀντὶ τοῦ ἀρχῆς. V.)

548. (ἀπὸ βαλβίδων : Ἀπ' ἀρχῆς εὐθέως. ἀπὸ μεταφορᾶς τῶν σταδιοδρομούντων. βαλβὶς γάρ ἐστιν ἡ ἀφετηρία. ἦν δὲ αὕτη γραμμὴ ἐφ' ἧς εἱστήκεσαν, ἕως ἂν ἀποσημανθῇ ὁ δρόμος αὐτοῖς.)

551. (τρυφερώτερον : Τρυφῆς δεόμενον. καλῶς δὲ ἡ προσθήκη τοῦ γέροντος. ἀσθενεῖς γὰρ περὶ τὰς ἡδονὰς οἱ γέροντες.)

552. φράγμασι τοῦ δικαστηρίου. V. τοῖς δικαστικοῖς. Rav.

554. ἐμβάλλει μοι τὴν χεῖρα : Ὃ ποιοῦσι τοῖς δικασταῖς οἱ θωπευτικῶς προσιόντες, ἠρέμα ἐφαπτόμενοι τῆς χειρὸς ἐν τῷ ἀσπάζεσθαι, (διὰ τὸ μέλλειν κρίνεσθαι ἐπὶ δημοσίων κλοπῇ προκαταλαμβάνοντες).

555. (οἰκτροχοοῦντες : Οἰκτρῶς χέοντες. καὶ Ὅμηρος [Od. T, 521]

ἥ τε πολὺ τρωχῶσα χέει πολυηχέα φωνήν.)

557. νῦν τὸ ἀγοράζων ὡς ἡμεῖς λέγει. V.

558. (ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ᾔδει : Ὅστις οὐδ' ἂν λόγου με ἠξίωσεν, εἰ μὴ εὐηργετήθη ὑπ' ἐμοῦ.)

559. (τουτὶ περί : Ἐν τῷ γραμματείῳ ὁ Βδελυκλέων ἀπογράφεται ὅτι ἀντιβολοῦνται οἱ δικασταὶ, ὡς καὶ ἄνω εἴρηκεν, ἵν' ἔχῃ τοῦτο εἰς κατηγορίαν αὐτῶν. ἀπομορχθεὶς δὲ, ἀποβαλών.)

561. (ἔνδον τούτων ὧν φάσκω : Ἀντὶ τοῦ ἃ ἔξωθεν ἐπαγγέλλομαι ποιεῖν, ἔνδον οὐ ποιῶ. τοιοῦτοι γὰρ οἱ δικασταί· παραχρῆμα μὲν ἐπαγγέλλονται, ὕστερον δὲ ἀρνοῦνται.)

565. (κακὰ πρὸς τοῖς οὖσιν : Ἐν σχήματι εἴρηκε μεταβὰς ἀπὸ τοῦ πληθυντικοῦ εἰς τὸ ἑνικόν. ὁ δὲ νοῦς, ἕως ἂν οὗτοι τὰ κακὰ τὰ ἡμέτερα ἀποφήνωσι τοῖς ἑαυτῶν ἴσα. Ἄλλως. ἀντὶ τοῦ τοσαῦτα λέγουσιν, ἕως ἂν ἀποδείξωσιν ἑαυτοὺς πένητας ὡς ἐγώ.)

566. (Αἰσώπου τι γελοῖον : Αἴσωπος τραγῳδίας ἐγένετο ὑποκριτὴς γελοιώδης. — Αἰσχύλου δὲ ἦν ὑποκριτής. V. — προπερισπωμένως δὲ τὸ γελοῖον.)

568. (εὐθὺς ἀνέλκει : Εἰς τὸ βῆμα. διὰ δὲ τὸν οἶκτον οἱ δικαζόμενοι τοῦτο ἐποίουν, ἵνα κἀνταῦθα ἐλεηθῶσιν.)

570. (ἅμα βληχᾶται : Ποιὰν φωνὴν ἀφίησιν ἐλεεινήν. ἐκ δὲ τῆς ἀσήμου φωνῆς δηλοῖ τὴν βραχεῖαν τῶν παίδων ἡλικίαν.)

571. τῆς εὐθύνης ἀπολῦσαι : Τῆς δίκης παρεκβάλλων. *V. Vict.*

572. (εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ : Παίζει ταῦτα, ἐπεὶ ἐκεῖνοι οὕτως λέγουσιν· εἰ μὲν ἄρσενά τις ἔχει, εἰς τοὺς ἄρσενας ἀπίτω· εἰ δὲ θήλεα, τὰς θηλείας κατοικτειράτω. λείπει δὲ τὸ ἐλέησον καὶ ἀπόλυσον.)

573. (χοιριδίοις : Ἴσως ὅτι χοῖρος προσαγορεύεται τὸ γυναικεῖον αἰδοῖον.)

574. τὸν κόλλοπ' ἀνεῖμεν : Κόλλοπα τὴν νευράν. τὸ τοῦ ταύρου τραχηλιαῖον. σκληρότατον τοῦτο. θέλει οὖν εἰπεῖν τὸ στερεώτατον τῆς ὀργῆς. R. (Ἀντὶ τοῦ τὴν τάσιν τῆς ὀργῆς, ἢ τὸ στερεώτατον τῆς ὁρμῆς, ἀπὸ τοῦ κατὰ τὸν τένοντα κόλλοπος. ἔστι δὲ δέρμα στερεώτατον. ἢ καὶ παρὰ τὸν τένοντα [τῆς χορδῆς] κάλλοπα τὸν κόλλοπα. Ἄλλως. κόλλοπες λέγονται οἱ πασσαλίσκοι τῆς κιθάρας, εἰς οὓς ἀποδεσμοῦνται αἱ νευραὶ, καὶ τείνονται στρεφομένων. ὀργῆς οὖν κόλλοπα ἀντὶ τοῦ τὴν τάσιν τῆς ὀργῆς.) — ὀργῆς ὀλίγον χαλῶμεν. V.

575. (καταχήνη : Κατάγελως, καταφρόνησις.) — γρ. καὶ πλούτου. R.

577. (καὶ τἀγαθά μοι μέμνησο : Καὶ μέμνησο, φησὶν, εἰπεῖν, ἃ ἔχεις φάσκων ἄρχειν τῆς Ἑλλάδος. ἐπειδὴ ἔλεγεν ὁ Φιλοκλέων ὅτι οἱ δικασταὶ ἄρχουσιν τῆς Ἑλλάδος.)

578. (παίδων τοίνυν δοκιμαζομένων : Πρὸς τὸ ἔθος. Ἀριστοτέλης δέ φησιν ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι δοκιμάζονται οἱ νεώτεροι μὴ ἐτῶν ιη' εἶεν. ἴσως δ' ἂν περὶ τῶν κρινομένων παίδων εἰς τοὺς γυμνικοὺς ἀγῶνας λέγοι, οὐχ ὡς ἐν δικαστηρίῳ κρινομένων, ἀλλ' ὑπὸ τῶν πρεσβυτέρων. Ἄλλως. τῶν γὰρ παίδων τὴν ἡλικίαν δοκιμάζοντες τὰ αἰδοῖα ἐσκόπουν διὰ τὸ δεῖσθαι αὐτῶν εἰς τὸ χρησιμεύειν ἐν ταῖς λειτουργίαις.)

579. κἂν Οἴαγρος : Ὅτι τραγικὸς ὑποκριτὴς (ὁ Οἴαγρος εἴρηται πρότερον. ὡς θαυμάζων δὲ αὐτόν φησιν, ὅτι κἂν ἐκεῖνος ὁ μέγας καταδικασθῇ. ἐκ τῆς Νιόβης δέ. καὶ γὰρ ὑπεκρίθη τὴν Νιόβην ἢ Σοφοκλέους ἢ Αἰσχύλου. ἐπίχειρα δὲ μισθοὺς, τὰ ἀπὸ τῶν χειρῶν κέρδη.)

(582). ἐν φορβειᾷ : Φορβειαί εἰσι τὰ δέρματα τὰ περὶ τὰ στόματα τῶν αὐλητῶν προσδεσμευόμενα, ὅπως ἂν σύμμετρον τὸ πνεῦμα πεμπόμενον ἡδεῖαν τὴν φωνὴν τοῦ αὐλοῦ ποιήσῃ. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἐπὰν νικήσῃ αὐλητὴς, ἀντίδοσιν τούτου προπέμπει ἡμᾶς μετὰ τοῦ αὐλοῦ. ἔθος δὲ ἦν ἐν ταῖς ἐξόδοις τῶν τῆς τραγῳδίας χορικῶν προσώπων προηγεῖσθαι αὐλητὴν, ὥστε αὐλοῦντα προπέμπειν, ὅπερ ἔλαβεν εἰς ἰδιότητα τῶν δικαστῶν ὁ Φιλοκλέων, ὅτι οὕτως περὶ τὸ στόμα εἶχον οἱ δικασταί.

583. (ἐπίκληρον : Ἐπίκληρος λέγεται ἡ νῦν μονοκληρονόμος καλουμένη.)

ὁ πατὴρ τινι ἐκδοθῆναι καταλιπὼν τὴν θυγατέρα. V.

585. καὶ τῇ κόγχῃ : (Τοῖς σημείοις.) ὡς κόγχας ἐπιτιθέντων ταῖς σφραγῖσιν, ἀσφαλείας ἕνεκα. (κόγχῃ δὲ τῷ κογχυλίῳ τῷ ἐπικειμένῳ ταῖς σφραγῖσι, διὰ τὸ μὴ ἀφανίζεσθαι τοὺς τύπους αὐτῆς.)

586. (ἔδομεν ταύτην : Ἐκδίδομεν αὐτήν φησι, τῷ δωροδοκοῦντι ἡμᾶς.)

587. ἀνυπεύθυνοι : Ἔνοχοι, ὑποκείμενοι. *Vict.*

588. (μακαρίζω : Λείπει ἡ κατά. κατὰ τοῦτό σε, φησι, μακαρίζω, τὸ ἀνεγκλήτως πράττειν.)

589. ἀνακογχυλιάζων : Πρὸς τὴν κογχύλην πέπαιχεν. (λέγουσι δὲ βραχέως τὴν δ' συλλαβὴν τοῦ ἀνακογχυλιάσαι. λέγει δὲ ἀντὶ τοῦ καταλύων.)

590. (ἔτι δ' ἡ βουλὴ χὠ δῆμος : Ἡ βουλὴ καὶ ὁ δῆμος, ὅταν ἀπορήσῃ πράγματος, τοῖς δικασταῖς ἐπιτρέπει.)

(592). Εὔαθλος : Εὔαθλος ῥήτωρ συκοφάντης, οὗ μνημονεύει καὶ ἐν Ἀχαρνεῦσι καὶ ἐν Ὁλκάσιν οὕτως « ἔστι « τις πονηρὸς ἡμῖν τοξότης συνήγορος, ὥσπερ Εὔα- « θλος. » μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ καὶ Κρατῖνος ἐν Θρᾴτταις. κολακώνυμον δὲ εἶπε τὸν Κλεώνυμον. εἴρηται δὲ ὅτι κόλαξ [καὶ ῥίψασπις]. τὸ δὲ οὐχὶ προδώσειν ἡμᾶς, ἐπεὶ λέγουσι τὰ τοιαῦτα οἱ ῥήτορες, ὡς ὑπὲρ ἡμῶν ἀγωνίζομαι καὶ οὐχὶ προδώσω τὴν πόλιν.

594. (κἂν τῷ δήμῳ γνώμην : Ὅτι ὁ δημηγορῶν ἐν τῷ δήμῳ, φησὶν, οὐκ ἰσχύει τῆς νίκης τὴν ψῆφον, ἄνευ τῆς κρίσεως τῶν δικαστῶν, εἰ μὴ πρότερον πρὸς μίαν δίκην δικάσαντες οἱ δικασταὶ παρεῖεν καὶ ἐπιτρέψειεν.

κἂν μὴ εἴπῃ τὰ δικαστήρια : Οἷον μηκέτι ἔχειν τὴν ἐξουσίαν ἄδικον ποιῆσαι, ἀλλ' ἅπαξ κριθῆναι ὑπὲρ τούτων, καὶ μὴ γενέσθαι ὑπερβόλιμόν τινι ποιήσασθαι ἐπὶ τῶν γνωμῶν καὶ τῶν ψηφισμάτων, ἀλλὰ τὸ ἅπαξ κριθὲν κύριον εἶναι.)

596. (αὐτός : Κατ' ἐξοχὴν τὸ αὐτός. κεκραξιδάμας δὲ ὁ τῇ βοῇ δαμάζων.)

599. (Εὐφημίου : Ὅτι Εὐφήμιος τῶν ἄγαν ἐπὶ κολακείᾳ διαβαλλομένων ἐστὶν, ᾧ παρείκασε τὸν Θέωρον διὰ κολακείαν τὰ ὑποδήματα τῶν δικαστῶν ἀποψῶντα καὶ ἀλείφοντα. μετῆκται δὲ ἀπὸ τῶν ἀγγείων. κυρίως γὰρ περικωνῆσαί ἐστι τὸ πισσῶσαι τὰ κεράμια.

600. περικωνεῖ : Κύκλῳ περιψᾷ. *Vict.*

603. ἔμπλησο : Κορέσθητι. *Vict.*

604. πρωκτὸς λουτροῦ : ἐπὶ τῶν βιαζομένων εἰς κακὸν αὐτοῖς. καὶ παροιμία ἐπὶ τῶν μὴ δυναμένων νίψασθαι τῆς κοιλίας φερομένης συνεχῶς. R. (παροιμιακὸν τοῦτο ἐπὶ τῶν ἐπὶ κακῷ τῷ ἑαυτῶν νικώντων. ἢ ἐπὶ τῶν ἀεὶ μολυνομένων καὶ βιαζομένων καθαίρεσθαι. ὁ γὰρ πρωκτὸς πλυνόμενος περιγίνεται τῆς καθάρσεως, καὶ ἔτι μολύνεται καὶ μᾶλλον ἐν τῇ ῥύσει τῆς γαστρός. εἴρηται δὲ ἀπὸ τῶν τὴν γαστέρα φερομένην ἐχόντων καὶ ἐν τῷ ἀπολούεσθαι νικωμένων τῇ φορᾷ. Ἄλλως. Εὐφρόνιος μὲν, ὡς τῆς εἰκόνος αὐτοῦ ματαίας οὔσης, ὅτι ματαίων ἐπιθυμεῖς. καὶ γὰρ τὸ μέρος ἐκεῖνο πλυνόμενον ἔτι μολύνεται. Καλλίστρατος δέ φησι· παροιμία, πρωκτὸς λουτροῦ περιγίνῃ, ἐπὶ τῶν βιαζομένων εἰς κακὸν ἑαυτούς. ὡς εἴ τις βιάζοιτο μὴ ἀποπλύνεσθαι.)

606. (ὅταν οἴκαδ' ἴω : Ὅτι παλαιὰ ἡ διὰ γυναικῶν τημελία, καὶ οὕτως ἐτημέλουν τοὺς πατέρας καὶ γέροντας, ὥστε μετὰ τὸ νίψαι ἀλείφειν τοὺς πόδας. Εὐφρόνιος δὲ καὶ τοὺς παρ' Ὁμήρῳ λιπαροὺς πόδας οὕτως ἀποδιδόναι τινάς φησι.)

εἰσήκονθ' : Προσιόντα. *Vict.*

609. (ἐκκαλαμᾶται : Ἀποσπᾷ, ἀπὸ τῶν διὰ καλάμου τοὺς ἰχθύας ἀγρευόντων.)

παππάζουσ' : Παππίαν καλοῦσα. *Vict.*

610. (φυστὴν μᾶζαν : Φυστὴ μᾶζα ἡ ἐξ ἀλφίτων καὶ οἴνου. ὀξυτόνως δὲ, ὥς φησιν Ἡρωδιανός.)

612. ἔντραγε : Ἐντρύφησον. *Vict.*

613. παραθήσει — καταρασάμενος : Τὸ ἐπαχθὲς τῶν οἰκετῶν σημαίνει. τονθορύσας : Γογγύσας. ἔστι δὲ ποιὰ φωνή. *Vict.* ἀριστοποιήσῃ. V.

615. τάδε κέκτημαι : Τὰ ἐκ τοῦ δικαστηρίου χρήματα. σκευὴν δὲ ἀντὶ τοῦ πανοπλίαν. βελέων δὲ ἀλεωρὴν σκέπην.

616. τὸν ὄνον : (Εἶδος ἀγγείου. ἴσως δὲ διὰ τὸ διάπλασμα ἔχειν ὄνου μορφήν.) — τινὲς τὸν οἶνον, ἀντὶ τοῦ οἰνηρὸν ἀγγεῖον. R.

617. οὗτος δέ : (Ὁ ὄνος. ἔπαιξε δὲ ὡς πρὸς τὸ ζῷον. βρωμᾶσθαι δέ ἐστι τὸ πεινῶντα τὸν ὄνον ὀγκᾶσθαι. δῖνος δέ ἐστιν ἀγγεῖόν τι κεράμειον οἴνου οἷον πρόχυμα, βάσιν οὐκ ἔχον, ἀλλὰ κάτωθεν ὑπότροχον.) στράτιον δὲ τὸ εἰς πολλοὺς ⟦τῶν στρατευομένων⟧ διῆκον. (ἐχρῶντο γὰρ καὶ κήρυξιν ἐν τοῖς στρατεύμασιν.)

κλίνας : Ἀνακλιθείς. *Vict.*

621. (ἅπερ ὁ Ζεύς : Ἃ τῷ Διὶ εἰώθασι λέγειν.)

626. (κἂν ἀστράψω : Φόβον κατ' ἀρχὴν δείξω. ποππύζουσιν : Ἔθος γὰρ ταῖς ἀστραπαῖς ποππύζειν. παρὰ δὲ τὰ εἰωθότα λέγεσθαι ὑπὸ τῶν ἀνθρώπων ἐπὶ τοῦ ὑπερβάλλοντος φόβου λέγει, ὅτε βρονταὶ καὶ ἀστραπαὶ γίνονται, παίζων.)

631. ἀντὶ τοῦ καλῶς. V.

634. ἀλλ' ἐρήμας : Παροιμία, (οὐκ ἐρήμας τρυγήσεις,) ἐπὶ τῶν ἀδεῶς τι πραττόντων, ὡς μηδενὸς αὐτοῖς ἀντιπράττοντος, ἐρήμας τρυγήσειν. (ἔστι δὲ ἀπὸ τῶν τὰς ἀμπέλους τηρούντων ἀφροντίστως.)

635. (καλῶς γὰρ ᾔδειν : Ἐν εἰρωνείᾳ. τοὐναντίον γὰρ παραδηλοῖ, πειθόμενος οὕτως πιθανώτατα ἔμελλον ἐρεῖν.

ταύτῃ κράτιστος : Τῷ αὐτῷ τρόπῳ ἐν τῷ δημηγορεῖν. ἤτοι ταύτῃ τῇ γνώμῃ, ὅτι τοῦ δικάζειν βελτιόν ἐστι τὸ ἔνδον καθέζεσθαι. ἢ ἀπὸ μεταφορᾶς τῶν πυκτῶν τῶν κατὰ τὴν ἑτέραν χεῖρα τὴν δύναμιν ἐχόντων.)

636. (ὡς δὲ πάντ' ἐπελήλυθεν : Θαυμάζει ὁ χορὸς τοῦ Φιλοκλέωνος τὴν κατάστασιν.)

639. (δικάζειν : Δέον εἰπεῖν οἰκεῖν, δικάζειν δὲ ἔφασαν ὡς φιλόδικοι.)

δικάζειν : Ἀντὶ τοῦ εἰπεῖν, οἰκεῖν. *Vict.*

642. σκορδινᾶται : Σκορδινᾶσθαι ἐστὶν ὃ ποιοῦσιν οἱ ἐξ ὕπνου ἀνιστάμενοι, (καὶ μετὰ χάσμης τὰ μέλη ἐκτείνοντες. φησὶν οὖν ὅτι χασμᾶται καὶ διατείνεται ὑπὸ τῆς ἀθυμίας.) — οὐκ ἔχει ἑαυτόν. V.

643. σκύτη βλέπειν : Ὃ ἐστι πληγάς σοι ἐμβαλῶ. — καὶ τοῦτο φασι παροιμ. ἐπὶ τῶν ἐγγιζόντων κακῶς τινι. R. (παροιμία δὲ ἐλέγετο ἐπὶ τῶν δειλιώντων. Ἄλλως. μέμνηται τῆς παροιμίας Εὔπολις ἐν Χρυσῷ γένει. φησὶ γὰρ

ἀτεχνῶς μὲν οὖν τὸ λεγόμενον, σκύτη βλέπει.

εἴρηται δὲ ἐπὶ τῶν ὑποψιαστικῶς διακειμένων πρὸς τὰ μέλλοντα κακά. πεπάναι δὲ μαλάξαι, ὑποχαλάσαι.)

647. μὴ πρὸς ἐμοῦ λέγοντι : Ἀντὶ τοῦ μὴ ὑπὲρ

ἐμοῦ, μὴ ἀρέσκοντά μοι λέγοντι. (πάντως γὰρ κατὰ τοῦ δικάζειν ἔμελλε λέγειν.)

648. (μύλην ἀγαθήν : Νεοκατασκεύαστον μύλην. καὶ Ὅμηρος δὲ [Od. Υ, 111] θηλυκῶς λέγει « ἣ ῥὰ μύλην στήσασα. »)

649. κατερεῖξαι : Καταθραῦσαι. (ἀφ' οὗ καὶ τὸ ἐρεικτὸν ἀξιοῦσι τινὲς, ἀπὸ μεταφορᾶς τῶν ἐρεικομένων ὀσπρίων. ὅθεν καὶ τὸ [Il. Ν, 441] « ἐρεικόμενος περὶ δουρί. » εἴρηται δ' ἐν τοῖς Βατράχοις [508].

650. (δεινῆς γνώμης : Ἀντὶ τοῦ μείζονος ἢ κατὰ κωμῳδίαν ἐστὶ τὸ ἰᾶσθαι νόσον πεπαλαιωμένην ἐν τῇ πόλει. λέγει δὲ τὸ φιλόδικον. ἐντετοκυῖαν δὲ ἐγγεννηθεῖσαν, ἢ ἐμφωλεύουσαν.)

652. (μὴ πατέριζε : Πατέρα καλεῖ. ἔμελλε δὲ εἰπεῖν· σοὶ πάντα δυνατά ἐστιν, ὦ Ζεῦ, καὶ διέκοψεν ὁ Φιλοκλέων.)

654. κἂν χρῇ : (Κἂν ὡς ἀνδροφόνος λογισθῶ καὶ τῶν θυσιῶν μὴ μεταλάβω. πρὸς τὸ ἔθος δὲ,) ὅτι οἱ ἀνδροφόνοι οὐ μεταλαμβάνουσι θυσιῶν.

655. (χαλάσας : Παυσάμενος τῆς ὀργῆς. ἔθος γὰρ τοῖς ὀργιζομένοις αἴρειν τὰς ὀφρῦς.)

656. μὴ ψήφοις : Ὡς πρὸς τὸ φιλόδικον εἶπεν. φαύλως δὲ ἀντὶ τοῦ ἁπλῶς. R. (πολλαχοῦ δῆλον ὅτι ψήφοις ἐλογίζοντο οἱ παλαιοὶ, ἀφ' οὗ τὸ ψηφίζειν. νῦν δὲ καὶ ταῖς δικαστικαῖς ψήφοις, πρὸς ὃ παίζει. τὸ δὲ φαύλως ἀντὶ τοῦ ἁπλῶς, ἀφελῶς. ὡς φιλόδικος δὲ εἶπε ψήφοις.)

658. κἄξω τούτου : Καὶ τὴν ἔξω διδομένην τοῖς δικασταῖς δραχμήν. ἑκατοστὰς δὲ τὰς ὑπὸ τοῦ τέλους χορηγουμένας ἀπὸ τῶν πόλεων. — δικασταί λείπει. R.

659. (πρυτανεῖα : Ἃς κατέβαλλον δεκάτας τῶν χρεῶν οἱ δανεισταὶ ὑπὲρ παραστάσεως τῶν χρεωφειλετῶν, ὅπως ἂν ἀπαιτηθῶσιν ἅπερ ἦσαν τέλη. καὶ τὰ ὑπὲρ τῶν μετάλλων τοῦ ἀργυρίου εἰσοδιαζόμενά φησι. καὶ τὰ ἀπὸ τῆς ἀγορᾶς καὶ τῶν λιμένων τέλη ὑπομιμνήσκει.

δημιόπρατα : Ἐδήμευον γάρ τινας καὶ τὰς οὐσίας αὐτῶν κοινὰς ἐποίουν.)

660. τάλαντ' ἐγγύς : Τὸ ἐγγὺς ἀντὶ τοῦ ὁμοῦ. τοῖς ἑξακισχιλίοις γάρ φησιν ἑκατὸν πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ.

662. οὐ γὰρ πλείους κατενάσθησαν τῶν ἕξ. V.

(663). ἑκατὸν δή που καὶ ν' : Εἰς ι' μῆνας λογίζεται τὸν ἐνιαυτὸν, ὡς τῶν β' εἰς ἑορτὰς προχωρούντων. ἑκάστῳ γὰρ τριώβολον τῆς ἡμέρας, [ιε' τοῦ μηνὸς] τάλαντα ἐποίει, ὡς ἐκ τῶν ἑξῆς δῆλον γίνεται.

666. ἐς τούτους : (Εὖ τὸ μὴ ὡς ἔτυχεν εἰπεῖν τὸ πλῆθος, ἀλλὰ τὴν ἀταξίαν προσονειδίσαι. περιπεφθεὶς δὲ ἀπατηθεὶς, κολακευθείς.) — εἰς τοὺς δημαγωγοὺς καὶ δικαστὰς καὶ λέγοντας τὸ οὐχὶ προδώσω. ἀπατηθεὶς καὶ κολακευθεὶς καὶ θεραπευθείς. R.

669. οἱ ῥήτορες ἢ οἱ στρατηγοὶ ὅτε δωροδοκοῦσι, οὐκ ὀλίγα λαμβάνουσιν, ἀλλὰ ν' τάλαντα, ἀντὶ τοῦ πολλά. V.

672. τοὺς ἀργελόφους : Τὰ περιττὰ καὶ ἄχρηστα. (ἀργέλοφοι γὰρ τῆς μηλωτῆς οἱ πόδες, οὓς ποδεῶνας καλοῦσι, καὶ οὗτοι ἄχρηστοι.)

674. (ἐκ κηθαρίου : Σύρφακα. τὸ ἱκανὸν πλῆθος τῶν δικαστῶν τὸ συρφετῶδες, ἐξ εὐτελῶν τρεφόμενον. κηθάριον γὰρ πλέγμα ἐστὶ κανισκῶδες, ἐπιτιθέμενον τῇ κληρωτρίδι τῶν ψήφων. λαγαριζόμενον δὲ τὰ λάγαρα ἐσθίοντα, ὅ ἐστιν εὔθραυστα καὶ εὐτελῆ τινα. ἢ κηθάρια τὰ ὀξύβαφα, ἐξ ὧν τοὺς κύβους ἠφίεσαν. πλεκτὰ δὲ ἦν ταῦτα. Ἄλλως. ἐκ κηθαρίου : Τὰ ἐκπέταλα τρύβλια, ἃ Εὐφρόνιος κήθια. μικρὸν οὖν ῥοφοῦντα ἐκ τρυβλίου καὶ τρωγαλίζοντα, οἷον κυάμους καὶ ὅσα τοιαῦτα. οὐκ ἔστι δὲ, ἀλλ' ἀγγεῖον πλεκτὸν, εἰς ὃ τὰς ψήφους καθιᾶσι, τὸ κήθιον, οἷον ὡς ἀπὸ τοῦ ψηφηφορεῖν μόνον. καὶ Χαῖρις δὲ τὸ κήθιον τρυβλίου τι εἶδος. καὶ τὸ λαγαρίζειν, τὸ ἀποτρώγοντα θηλάζειν. μήποτε μέντοι καὶ πρὸς τὴν τῶν κύβων παιδιὰν ὁμοίως ἐχρῶντό τινι βάλλοντες ἐξ αὐτοῦ. καὶ γὰρ Ἕρμιππος ἐν Θεοῖς

καὶ πρὸς κύβους ἕστηκ' ἔχων τὸ κήθιον.

τὸ δὲ λαγαρίζεσθαι ἕτερόν τι ἔοικεν ἐμφαίνειν. Φερεκράτης Μυρμηκανθρώποις. — ἀντὶ τοῦ σιδαλεύειν ἆρα ποθ' ὑμεῖς καὶ τῆς ὀροφῆς τὸν χοῦν κατὰ τῆς κεφαλῆς καταμήσονται λαγαριζόμενοι. V. — ἴσως ἂν οὖν λέγοι ἤτοι ἐκ τῶν ἀγγείων τῆς ψήφου ἀποξύοντα τὸν μισθὸν καὶ ἐξ ἄγγους τινὸς πλεκτοῦ, οἷον ὁ κάρταλος, τρωγαλιζόμενον, ὡς ἂν πένητα. λαγαριζόμενον δὲ ἀντὶ τοῦ ἀποξύοντα, ὡς ἀπὸ τῶν δικαστικῶν ἀγγείων. ταῦτα δὲ ὡς περὶ πενήτων.)

675. Κόννου ψῆφον : Κόννος κιθαρῳδὸς ἦν νέος. (ἔστι δὲ παροιμία ἐπὶ τῶν μηδὲν ἀξίων. Καλλίστρατος δὲ παροιμίαν φησὶ, Κόννου θρῖον· παρ' ἣν παίζει. Εὐφρόνιος δὲ, ὅτι ἐλέχθη διὰ τὸ ἡδύν τινα τὸν Κόννον εἶναι. οἱ δὲ Κόννον λέγουσι τὸν κιθαριστήν. μήποτε δὲ οὐδὲ ὅλως ἔστι Κόννος, ἀλλὰ Κόννας, ὃν προενεκτέον ὡς Μίδας. Κόννου ψῆφος, οἷον τὸ μηδέν. Ἄλλως. Κόννος, εὐτελής. Κόννος γὰρ τὰ πατρῷα κατέφαγε καὶ πένης ἦν. ψῆφον δὲ εἶπε διὰ τὸ περὶ δικαστοῦ λέγειν.)

676. ὕρχας : Κεράμινα ἀγγεῖα, (ὑποδεκτικὰ ταρίχων, δύο ὦτα ἔχοντα.) — τὸν καρπόν φησι. V.

[δάπιδας : Τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δάπιδας λέγουσι. καὶ δάπισι τοῖς τάπησιν. ἐν δέ τισι τῶν ἀντιγράφων δάπισιν εὕρηται ἐν τῷ Πλούτῳ [527] « οὐδ' ἐν δάπισιν ἔσται καταδαρθεῖν. » ἀντὶ τοῦ τάπησιν.]

677. ὅρμους : Περιτραχήλιον κόσμον. *Vict.*

678. πιτυλεύσας : Πίτυλος καλεῖται ἡ καταβολὴ τῆς κώπης. (τοῖς ἑψητοῖσι δὲ, τοῖς ἰχθυδίοις.) — τοῖς μικροῖς ἰχθύοις. V.

680. (ἄγλιθας : Αἱ κεφαλαὶ τῶν σκορόδων. ἐξηγεῖται δὲ τὰς ἄγλιθας. προεῖπε γὰρ

οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἑψητοῖσι δίδωσιν.

ἄηθες δὲ καὶ τὸ μετέπεμψα ἀντὶ τοῦ μετεπεμψάμην. Εὐχαρίδης δὲ ὄνομα σκοροδοπώλου.)

681. οὐ φανεροποιῶν. V.

684. (τοὺς τρεῖς ὀβολούς : Τὸν φόρον λέγει, ἀφ' ὧν ἐδίδοτο τὸ τριώβολον. τοῦτο δὲ ἄλλοτε ἄλλως ἐδίδοτο, τῶν δημαγωγῶν τὰ πλήθη κολακευόντων, ὥς φησιν Ἀριστοτέλης ἐν Πολιτείαις. κατάπυγον δὲ πεπορνευμένον.)

687. (Χαιρέου υἱός : Οἷον οὐδὲ γνήσιος πολίτης. τὸν γὰρ Χαιρέαν Εὔπολις ἐν Βάπταις ὡς ξένον κωμῳδεῖ.) — οὐ λέγει τὸ ὄνομα αὐτοῦ. V.

688. (τρυφερανθείς : Ἀντὶ τοῦ μαλακῶς σταθείς.) τρυφερανθείς : Τρυφερωθείς. *Vict.*

689. τοῦ ὡρισμένου καιροῦ. V.

690. τὸ τριώβολον οὐ κομιεῖται : Ὡς ἔθους ὄντος πρὸς σημεῖόν τι ἐκκείμενον ἀθροίζεσθαι τοὺς δικαστάς. (ἐν ἤθει δὲ ταῦτα.)

691. (αὐτὸς δὲ φέρει τὸ συνηγορικόν : Ὑπὲρ τοῦ συνηγορῆσαι. ἐλάμβανον γὰρ οἱ ῥήτορες δραχμὴν, ὅτε συνηγόρουν ὑπὲρ τῆς πόλεως, ἢ ὑπὲρ ἄλλου τινός. ἐκ τούτου δὲ φαίνεται ὅτι μισθοφόρος ἦν ἡ ἀρχή. κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν.)

693. κακουργήσαντε. V.

694. (κᾆθ' ὡς πρίονα : Ὡς οἱ πρίζοντες διαφιλονεικοῦσι, τίς πρὸς ἑαυτὸν ἑλκύσει.) — ἐσπουδακότες. V.

695. (σὺ δὲ χασκάζεις : Ἀντὶ τοῦ ἐπιτηρεῖς, πότε ἔλθῃ ὁ κωλακρέτης καὶ ἐνέγκῃ σοὶ τὸ τριώβολον. κωλακρέτης δὲ καλεῖται ὁ κατέχων τὰ χρήματα τῆς πόλεως, ὁ ταμίας τοῦ δικαστικοῦ μισθοῦ καὶ τῶν εἰς θεοὺς ἀναλωμάτων. νόμος δὲ ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τοὺς ἱερέας λαμβάνειν, ἅ εἰσιν οἷον δέρματα καὶ κωλαῖ. ἐπιτηρεῖς, φησὶ, τὸν ταμίαν, πότε τὸν μισθὸν λήψῃ.)

696. τὸν θῖνα ταράττεις : (Ἐκ βυθοῦ με κινεῖς. ἀντὶ τοῦ τὴν καρδίαν. Εὐφρόνιος δὲ καὶ σεσημειῶσθαί φησιν ὅτι τὸν θῖνα ἀρσενικῶς ὡς καὶ Ὅμηρος εἴρηκεν, παρόσον καὶ ὁ θὶς ἐν βάθει τοῦ πελάγους κεῖται καὶ τὸ θυμικὸν ἐν τῇ καρδίᾳ.) — θῖνα τὴν καρδίαν ὡς ἄνεμος τὴν ἄμμον. R.

697. (κοὐκ οἶδ' ὅτι χρῆμα : Εἰς τί με διαθήσεις. τοῦτο δέ φησιν ὡς ἤδη ἡττώμενος καὶ δεδοικὼς, ὅτι ἐπὶ ξίφους τὰ τῆς δημηγορίας ἦν αὐτῷ.)

699. δημιζόντων : Τῶν τὸν δῆμον ἀπατώντων. (ἐγκεκύκλησαι δὲ μεταβέβλησαι.)

701. (πλὴν τοῦθ' ὃ φέρεις : Τοῦτο ὃ φορεῖς ἱμάτιον. ἐκ γὰρ τοῦ τριωβόλου τρεφόμενοι, καὶ εἰς κατασκευὴν ἱματίου θησαυρίζοντες ὀλίγον, διὰ πολλοῦ χρόνου μόγις συνάγουσι τὴν πλήρη τιμὴν τοῦ ἱματίου. τὸ δὲ ἀκαρῆ ἐπίρρημα ἀντὶ τοῦ βραχὺ καὶ οἰκτρόν.

καὶ τοῦτ' ἐρίῳ σοι : Ἀπὸ μεταφορᾶς τῶν τὰ ὦτα ἀλγούντων, καὶ δι' ἐρίου ἐπισταζομένων ἔλαιον κατὰ βραχύ.)

702. ὥσπερ ἄλευρον : (Ἡ εἰκὼν) ἀπὸ τῶν σφόδρα ἀρρωστούντων. (οἱ γὰρ κατὰ μικρὸν βουλόμενοι βάλλειν ἐρίῳ ἐνστάζουσι.)

704. (τιθασευτήν : Ἓν σ διὰ τὸ μέτρον. τὸν θεραπεύοντά σε καὶ τρέφοντα καὶ κολακεύοντα.)

ἐπισίζῃ : Λυκόφρων καὶ οἱ περὶ Ἐρατοσθένη τὸ ἐπαφιέναι τὰς κύνας ἐπισίζειν. ἀπὸ τῆς ἐπιφθέγξεως οὖν ἐπισίζειν καὶ τὸ ἐπιρρύξαι ἐφορμῆσαι ὁμοίως τῇ φωνῇ.

707. (πόλεις χίλιαι : Ἀντὶ τοῦ πολλαί. τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. ἢ καὶ ἀπὸ ἱστορίας τὸ τοιοῦτον ἔλαβεν.)

709. (δύο μυριάδες : Ἐκ πολλῶν φαίνεται περὶ τοσοῦτον ἀριθμὸν τὸ Ἀθηναίων πλῆθος προΐστασθαι. καὶ Δημοσθένης γάρ φησιν [p. 785, 24] « εἰσὶ δ' ὁμοῦ δισ« μύριοι πάντες Ἀθηναῖοι. »)

ἐν πᾶσι λαγῴοις : Ἐν κρέασι λαγῶν, ἐν ἀγαθοῖς πᾶσι. (τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγῴοις. ἀντὶ τοῦ ἐν τρυφῇ.)

710. καὶ πύῳ καὶ πυριάτῃ : (Πυριάτης τὸ πυρίεφθον ὑπό τινων προσαγορευόμενον, ὃ κατασκευάζουσιν ἐκ τοῦ πρώτου γάλακτος μετὰ τὸν τόκον.

πυὸν δαινύμενοι κἀμπιπλάμενοι πυριάτην.

ὅθεν) τισὶν ἔδοξε πυὸν μὲν εἶναι τὸ πρῶτον γάλα (οὑτωσὶ λαμβανόμενον), πυριάτην δὲ τὸ ἑφθὸν γάλα. (ὁ δὲ Παλαμήδης τὸ αὐτὸ λέγων εἶναι γράφει. ἔθος δὲ τοῖς ποιηταῖς παραλλήλαις λέξεσιν ἰσοδυναμούσαις χρῆσθαι. — πύῳ : Πύον τὸ πρῶτον γάλα, ὃ πήγνυται ἑψόμενον. *Vict.*)

711. (τοῦ 'ν Μαραθῶνι : Ἐκεῖ γὰρ οἱ Ἀθηναῖοι ἐνίκησαν τοὺς Μήδους.)

712. ἐλαιολόγοι : Εὐτελεῖς γὰρ οἱ τὰς ἐλαίας (μισθοῦ) συνάγοντες.

713. νάρκη : Νάρκη, μυρμηκίασις, ὀκνηρία. *Vict.*

714. καὶ τὸ ξίφος οὐ δύναμαι : (Ὥσπερ ὁ Μενέλαος.) τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην ἀποβαλεῖν τὸ ξίφος. ἡ δὲ ἱστορία παρ' Ἰβύκῳ (καὶ Εὐριπίδῃ. παίζει δὲ, ἐπειδὴ ξίφος ᾔτησε, καὶ ὁρᾷ ἑαυτὸν κατακρατηθέντα.)

715. (αὐτοὶ τὴν Εὔβοιαν : Οἱ ῥήτορες τῷ λόγῳ καὶ τὴν Εὔβοιαν διδόασιν. Ἄλλως. τὴν Εὔβοιάν φασιν αὐτοὶ κατανενεμηκέναι ὑμῖν καὶ κλῆρον ἑκάστῳ μεδίμνων ν'. ἐν τοιούτῳ σχήματι εἴρηκεν.)

718. (ξενίας φεύγων : Τοιοῦτόν ἐστι, παρόσον ἐν ταῖς διανομαῖς τῶν πυρῶν ἐξητάζοντο πικρῶς οἵ τε πολῖται καὶ μὴ, ὥστε δοκεῖν ξενίας φεύγειν εἰς κρίσιν καθισταμένους. φησὶν οὖν ὁ Φιλόχορος αὖθις ποτὲ τετρακισχιλίους ἑπτακοσίους ξ' ὀφθῆναι παρεγγράφους, καθάπερ ἐν τῇ προκειμένῃ λέξει δεδήλωται. τὰ περὶ τὴν Εὔβοιαν δύναται καὶ αὐτὰ συνᾴδειν ταῖς διδασκαλίαις. πέρυσι γὰρ ἐπὶ ἄρχοντος Ἰσάρχου ἐστράτευσαν ἐπ' αὐτὴν, ὡς Φιλόχορος. μήποτε δὲ περὶ τῆς ἐξ Αἰγύπτου δωρεᾶς ὁ λόγος, ἣν Φιλόχορός φησι Ψαμμήτιχον πέμψαι τῷ δήμῳ ἐπὶ Λυσιμαχίδου μυριάδας τρεῖς, πλὴν τὰ τοῦ ἀριθμοῦ οὐδαμῶς συμφωνεῖ, ἑκάστῳ δὲ Ἀθηναίων πέντε μεδίμνους. τοὺς γὰρ λαβόντας γενέσθαι μυρίους τετρακισχι-

λίους διακοσίους μ'. Ἄλλως. σιτοδείας ποτὲ γενομένης ἐν τῇ Ἀττικῇ, Ψαμμήτιχος ὁ τῆς Λιβύης βασιλεὺς ἀπέστειλε σῖτον τοῖς Ἀθηναίοις αἰτήσασιν αὐτόν. τῆς δὲ διανομῆς γενομένης τοῦ σίτου ξενηλασίαν ἐποίησαν Ἀθηναῖοι, καὶ ἐν τῷ διακρίνειν τοὺς αὐθιγενεῖς εὗρον καὶ ἑτέρους τετρακισχιλίους ἑπτακοσίους ἑξήκοντα ξένους παρεγγεγραμμένους. τοῦτο οὖν φησι, καὶ ἐν τῷ ἐρευνᾶσθαι μόγις ἔλαβες πέντε μεδίμνους, ἐγκαλούμενος ὡς ξένος, καὶ τούτους οὐδὲ ὑφ' ἓν ἐν συντομίᾳ, ἀλλὰ κατὰ μέρος, κατὰ χοίνικα ἕνα, οὐδὲν διαφέροντος τοῦ σίτου κριθῶν, ὡς κακοῦ σίτου διανεμηθέντος. Εἰς τὸ αὐτό. ὡς λιμοῦ γενομένου καὶ τῶν ξένων διακριθέντων, τουτέστι δοκιμαζομένων, εἰ πολίτης εἴη ἢ μή.)

721. στομφάζοντας : Ἀλαζονευομένους εἰς τὸ στόμα. R. ἀλαζονευομένους ἢ ἐπεγγελῶντας. V.

722. ἐκ παντὸς τρόπου. V.

724. (κωλακρέτου : Περιφραστικῶς τὸν δικαστικὸν μισθόν. παρ' ὑπόνοιαν δὲ, δέον εἰπεῖν ζῴου τινός.) — πάντα σοι, φησὶ, δίδωμι πλὴν ἀπὸ δημοσίων τροφῆς. Ven.

725. (πρὶν ἂν ἀμφοῖν : Κατὰ τὸ

μηδὲ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς.

ὑγιῶς δὲ νῦν τὸ ἀμφοῖν κεῖται. τοὺς σκίμπωνας δὲ τὰς βακτηρίας. ἀτενὴς δὲ μανικὸς, διὰ τὸ ἀεὶ ἀτενὲς βλέπειν τοὺς μανίᾳ κατεχομένους. ἀτενῆ τὸν μανικὸν νῦν εἴρηκεν. ἠγριωμένοι γάρ εἰσι καὶ ὕφαιμοι τῶν τοιούτων οἱ ὀφθαλμοί.)

728. συγχορευτὰ, ὅ ἐστι συνεργέ. V.

730. ἀτεράμων : (Οἱονεὶ μὴ τεράμων, ἀλλὰ) σκληρός. (ἔνθεν δὲ) καὶ ἀτέραμνα (ὄσπρια φαμὲν), τὰ μὴ ἑψόμενα διὰ σκληρότητα· παρὰ τὸ [Il. Γ, 142] « τέρεν κατὰ δάκρυ χέουσα » (καὶ Πλάτων [Leg. 9, p. 853, D.] κέχρηται τῇ λέξει, κερασβόλους καὶ ἀτεράμνους λέγων τοὺς σκληροὺς διὰ τούτων « μή τις γένηται τῶν πολιτῶν κερασβόλος, ἢ ἀτέραμνος. » φασὶ γὰρ τὰ κατὰ τῶν κεράτων βληθέντα σπέρματα ἀτέραμνα γίνεσθαι.)

734. (ἐμφανής : Ἴσον τῷ ἐναργής, οὐχὶ τῷ φαινόμενος.)

737. ὃν ἄλικα Ῥωμαῖοι καλοῦσιν. V.

738. (σισύραν : Σισύρα καλεῖται παρὰ μέν τισιν ἡ βαίτη. ἔστι δὲ περιβόλαιον ἐκ δερμάτων συνερραμμένων προβατείων ἐχόντων τὰ ἔρια. οἱ δὲ ἀκριβέστεροί φασι χλαῖναν παλαιὰν εἶναι ἁπλοΐδα. τὴν αὐτὴν δὲ καὶ σισύραν καλοῦσι καὶ σισύρναν.

740. ὀσφύν : Τὸν παρὰ πλευρὸν διάκενον τόπον. *Vict.*

743. (νενουθέτηκεν αὐτόν : Ὁ χορὸς ἀναδέχεται τὸ πρόσωπον τοῦ Φιλοκλέωνος. μετέγνω, φησὶν, ἐπὶ τοῖς πεπραγμένοις αὐτῷ πάλαι.)

751. (κείνων ἔραμαι : Ἐξ Ἱππολύτου Εὐριπίδου [230].

κεῖθι : Ἐν τοῖς δικαστηρίοις.)

752. τίς ἀψήφιστος : Ἔνθα ἐν ταῖς δημοσίαις δίκαις εἰς ταυτὸ συναγόμενοι οἱ δικασταὶ, τοῦ κήρυκος τὴν κληρωτρίδα προσφέροντος, ἔβαλον τὰς ψήφους. ἐνίοτε δὲ ἔσθ' ὅτε ὑπὸ φιληδίας κατεῖχον αὐτάς. Ἄλλως. ἐνίοτε μὲν, φησὶν, ἔφερον στάμνον καὶ ἐνέβαλλον καθήμενοι οἱ δικασταὶ τὰς ψήφους, ἐνίοτε δὲ καὶ αὐτοὶ ἐγειρόμενοι ἔβαλλον. τοῦτο οὖν λέγει, ὁ μὴ ἐψηφοφορηκὼς ἐγερθεὶς βαλλέτω.

757. πάρες ὦ σκιερά : Ἀντὶ τοῦ ὦ ἀσθενής. R. παρὰ τὰ ἐκ Βελλεροφόντου παίζει ταῦτα· « πάρες, (ὦ σκιερὰ « φυλλὰς, ὑπερβῶ κρηναῖα νάπη. τὸν ὑπὲρ κεφαλῆς « αἰθέρ' ἰδέσθαι σπεύδω, τίν' ἔχει στάσιν Εἰνοδία. »)

759. (κλέπτοντα : Ἀπειλεῖ καταδικάσειν τὸν Κλέωνα, εἰ λάβοι αὐτὸν ἐγκαλούμενον περὶ κλοπῆς. τὸ δὲ ὅλον βούλεται διαβάλλειν τὸν δικαστικὸν τρόπον ὡς σκληρὸν καὶ ἄπιστον, ὁπότε οὐδὲ τῷ Κλέωνι, ἀφ' οὗ τὸ ὄνομα ἔχει ὁ Φιλοκλέων, πιστόν τι φυλάττει.)

763. (Ἅδης διακρινεῖ : Ἐν Κρήσσαις Εὐριπίδου ὁ Ἀτρεὺς πρὸς τὴν Ἀερόπην. κρινεῖ ταῦτα.)

764. (κεχάρηκας ποῶν : Ἀπὸ ῥήματος περισπωμένου τοῦ χαιρῶ, οὗ ὁ μέλλων χαιρήσω.)

768. ἡ σηκὶς : (Σηκίδα τὴν κατ' οἶκον θεράπαιναν λέγουσι. καὶ σεσημειῶσθαι τινὰς ὡς ἀπεκδεχομένων τινῶν τὴν σηκίδα ὄνομα.) — ἡ διάκονος, ἡ θεράπαινα. οἱ δὲ ὄνομα. R.

769. (ταύτης ἐπιβολήν : Λείπει δραχμήν. ταύτης τῆς δίκης μίαν μόνην δραχμὴν ἐπιβολὴν ψηφιεῖ. ἐπιβολὴν δὲ ἐπιτίμιον ζημίαν, παρὰ τὸ ἐπιβάλλειν.)

ψηφιεῖ : Καταδικάσεις. μίαν μόνην : Λείπει δραχμήν. *Vict.*

771. ἐξέχῃ : Ἀνίσχῃ, ἀνατέλλῃ. *Vict.*

772. (εἵλη κατ' ὄρθρον : Ἕλη ἡ τοῦ ἡλίου αὐγὴ, δασέως, ληφθέντος δὲ διὰ τοῦ ι, ψιλῶς. — καὶ εἱρκτὸν καὶ ἐπὶ τοῦ ὁδὸν καὶ οὐδόν. V. — γράφεται δὲ καὶ κατ' ὀρθὸν ἐν πολλοῖς. καὶ ἐξηγούμενος Καλλίστρατός φησι, κατὰ τὸ ὀρθῶς ἔχον· οὐχὶ ἐν τῷ δικαστηρίῳ. τὸ δ' ἡλιάσῃ (μήποτε δὲ ψιλῶς προενεκτέον) παρὰ τὴν Ἡλιαίαν, πρὸς ἥλιον δικάσειν. ἅμα δὲ παίζει παρὰ τὴν τοῦ ἡλίου ὀνομασίαν. ψυχρῶς δὲ πέπαιχε, φησὶν ὁ Δίδυμος, πρὸς τοὔνομα. ἐπειδὴ γὰρ εἵλη λέγεται ἡ τοῦ ἡλίου αὐγὴ, Ἡλιαία δὲ τὸ δικαστήριον, παίζων ἔφησε πρὸς τὸ φιλόδικον ὅτι ἐπειδὰν ἀνάσχῃ ὁ ἥλιος, ἡλιάζειν ἐνέσται σοι. οὕτως δὲ οἱ Ἀττικοὶ διὰ τοῦ ι εἵλην λέγουσιν. οὕτως Δίδυμος. δικάσεις, φησὶ, πρὸς τὸν ἥλιον καθήμενος. ἔπαιξε δὲ παρὰ τὴν Ἡλιαίαν, τὸ μέγιστον δικαστήριον, ὃ ταύτης τῆς ὀνομασίας ἔτυχε διὰ τὸ ἐν ὑπαίθρῳ αὐτὸ ἀναπεπταμένον βάλλεσθαι τῷ ἡλίῳ.)

774. ὕοντος : Ὕοντος τοῦ θεοῦ καὶ νίφοντος, γνώσῃ καθήμενος πρὸς τὸ πῦρ τὴν δίκην.

(κἂν ἔγρῃ : Κἂν βραδέως ἀπὸ τῆς κοίτης ἀναστῇς, οὐδεὶς ἀποκλείσει σε τοῦ δικαστηρίου, ὡς βραδέως ἥκοντα.)

775. θεσμοθέτης : Ὅτι καὶ θεσμοθέτης παρετύγχανε καὶ ἔβλεπε τὰ δικαστήρια. R. V. (Ἄλλως.

ἐπειδὴ θεσμοθέται καὶ δέκατος ὁ γραμματεὺς κληροῦσι τοὺς δικαστὰς τοὺς τῆς αὐτῆς φυλῆς ἕκαστος. Ἄλλως. ἀρχῆς ὄνομα ὧν τοῖς ψηφίσμασιν ἐχειροτονοῦντο οἱ δικασταί. καὶ ἦρχον αὐτῶν οὕτως, ὡς καὶ δύνασθαι ἐκβαλεῖν καὶ μὴ ἐᾶν εἰσιέναι εἰς τὸ δικαστήριον. εἶπε δὲ καὶ ἑκάστη φυλὴ πρὸς ἕνα εἰς τὸ τοὺς νόμους εἰσηγεῖσθαι.)

778. (δάκνων σεαυτόν : Ἐπειδὴ ἐνίοτε ἀπὸ πείνης ὁ δικαστὴς τὸν λέγοντα καταδικάζει.)

779. (πῶς οὖν διαγινώσκειν : Ἐπειδὴ εἶπεν αὐτῷ ὁ Βδελυκλέων, δύνασθαι δικάζοντα ἐπὶ τῆς οἰκίας ἐσθίειν, φησὶ, πῶς δυνήσομαι ἐσθίων δοκιμάσαι τὰ λεγόμενα;)

783. (ἀναμασώμενοι : Ἀντὶ τοῦ διαλογιζόμενοι. νοούμενον πρὸς τὸ χρειῶδες ἐνταῦθα παρέλαβεν ἐπὶ τοῦ ἐσθίοντος. Ἄλλως. ἐκ μεταφορᾶς τῶν ἀναπεμπαζόντων τὴν τροφὴν ζῴων καὶ αὖθις ἀναμασωμένων τὸ ἀναμασώμενοι εἴρηκεν.)

787. Λυσίστρατος : Σκωπτικός. (καὶ ἐν Ἀχαρνεῦσι [855] « Λυσίστρατός τ' ἐν ἀγορᾷ Χολαργέων ὄνειδος. » ἔστι δὲ καὶ ἕτερος Λυσίστρατος, παῖς Μακαρέως, σκωπτόμενος εἰς κιναιδίαν. Ἄλλως. δυοῖν γὰρ δικασταῖς ἐδίδοτο δραχμὴ μία, καὶ οὕτως ἐμερίζοντο πρὸς τρεῖς ὀβολούς. ὡς τοῦ Λυσιστράτου ἅμα αὐτῷ εἰληφότος δραχμὴν ὑπὲρ τοῦ δικαστικοῦ μισθοῦ, καὶ ἐμπεπιστευμένου κερματίσαι αὐτὴν, ὥστε μερίσασθαι, καὶ παρασχόντος αὐτῷ ἀντὶ ἀργυρίου λεπίδας, ἀγαπητῶς ἔχει τὸ μόνος λαμβάνειν τοὺς μισθούς.)

788. (δραχμὴν μετ' ἐμοῦ λαβών : Καθὸ εἰς δύο ἡ δραχμὴ ἐδίδοτο καὶ αὐτοὶ διῃροῦντο κερματίζοντες, ἵνα μὴ οἱ κωλακρέται κέρμα εἰσφέρωσιν.)

789. ἐν τοῖς ἰχθύσιν : Ἐν τοῖς ἰχθυοπωλίοις. (ἀπὸ τῶν πωλουμένων τοὺς πωλοῦντας εἰπών. λοπίδας δὲ ἃς ἡμεῖς λεπίδας καλοῦμεν.)

(790). κεστρέων : Κεστρεὺς εἶδός ἐστιν ἰχθύος, [ὁ λεγόμενος κέφαλος,] μεγάλην λεπίδα ἔχον καὶ παχεῖαν, ὡς ὑπόνοιαν αὐτὴν ἔχειν ἀργυρίου.

791. κἀγὼ 'νέκαψα : Ἐνέκαψα, ἐνέθηκα τῷ στόματι, νομίζων εἶναι ἀργύριον. (πολλοῖς γάρ ἐστιν ἔθος ἐν τῷ στόματι φυλάττειν τὸ ἀργύριον.)

(ᾠόμην λαβεῖν : Ὅτι δηλοῖ τὸν λεπτὸν, ὁποῖός τις ἦν. ἦν δὲ ἀργυρᾶ νομίσματα. ὀσφρόμενος δὲ τῆς δυσωδίας αἰσθόμενος.)

794. (ἀλεκτρυόνος μ' ἔφασκεν : Ἐπεὶ πάντα πέττουσιν οἱ ἀλεκτρυόνες θερμοτάτην κοιλίαν ἔχοντες.)

795. (ταχὺ γοῦν καθέψεις : Τοὺς ὀβολοὺς ἀργυροῦς εἴρηκεν, ὡς καὶ ἡμεῖς λέγομεν χαλκοῦς, ἀργύρου ὄντος. ἢ καθότι τρεῖς ὀβολοὶ ὄντες ἀργυροῦν τριώβολον ἐγένοντο.) — ὅτι καὶ ὀβολοὶ ἀργυροῖ ἦσαν. R.

(ἦ δ' ὃς λέγων : Ἀντὶ τοῦ ἔφη. καὶ ἔστιν ἀπὸ τοῦ ἠμί. κέχρηται δὲ αὐτῷ συνεχῶς ὁ Πλάτων ἐπὶ μέλλοντος μόνου· οἱ δὲ κωμικοὶ καὶ ἐπὶ τῶν ἄλλων χρόνων.)

798. (ταῦθ' ἥξω : Τὰ πρὸς τὸ σχῆμα τοῦ δικαστηρίου ἐπιτηδεύει.)

799. ὅρα τὸ χρῆμα : Ταῦτα πρὸς ἑαυτὸν, τοῦ υἱοῦ εἰσελθόντος. οὐκ ἐπ' ἀληθείᾳ δὲ ταῦτά φησιν, ὅτι χρησμὸς ἐδόθη, ἀλλὰ πρὸς τὸ φιλόδικον αὐτῶν παίζει.

τὰ λόγια : Οἱ χρησμοὶ τοῦ Ἀπόλλωνος. V.

804. Ἑκάταιον : (Ἱερὸν Ἑκάτης, ὡς τῶν Ἀθηναίων πανταχοῦ ἱδρυομένων αὐτὴν ὡς ἔφορον πάντων καὶ κουροτρόφον. Ἑκάταιον οὖν Ἑκάτης ἄγαλμα, τὸ Ἑκατήσιον λεγόμενον. τῇ προσῳδίᾳ) Καλλίστρατος ὡς ἐπινίκιον. (ἔν τισι γὰρ εὕρηται Ἑκατεῖον.)

807. (ἀμίς μέν : Οὐρητρίς, οὐρηρὸν ἀγγεῖον. οὐρητιάσῃς δὲ οὐρῆσαι βουλήσῃ, ἢ στραγγουρίας περιπέσῃς νοσήματι.)

810. (στραγγουρίας : Φυσικῶς τοῦτο εἶπεν. συμβαίνει γὰρ τοὺς ἐπέχοντας τὰ οὖρα στραγγουριᾶν.)

811. (προσέστηκε φακῇ : Ὥσπερ τὸ συκῆ ἀπὸ συκέα περισπῶσι, καὶ τὸ ἀμυγδαλῆ ἀπὸ τοῦ ἀμυγδαλέα, οὕτω καὶ φακῆ ἀπὸ τοῦ φακέα.)

814. ῥοφήσομαι : Ὡς καὶ φακῆς ῥοφήματος διδομένου τοῖς ἀσθενοῦσιν, (ἔπαιξεν, ἐπεὶ οἱ νοσοῦντες χυλὸν πτισάνης ῥοφοῦσι).

815. (τί τὸν ὄρνιν : Ὡς καὶ ἀλεκτρυόνα ἐξαγαγόντος τοῦ Βδελυκλέωνος.)

817. (ᾄδων : Κυρίως τὸ ᾄδειν ἐπὶ τοῦ ἀλεκτρυόνος, κοκκύζειν δὲ ἐπὶ τοῦ κόκκυγος.)

819. (θηρῷον : Τὸ ἱερὸν τοῦ ἥρωος Λύκου. πάλιν δὲ καὶ τοῦτο ὡς φιλόδικος.)

820. πάρεστι τουτί : Πινάκιον κομίζει, ἐν ᾧ γεγραμμένος ἦν ὁ Λύκος.

821. (χαλεπὸν ἄρ' ἦσθ' ἰδεῖν : Ὡς δυσμόρφου γεγραμμένου τοῦ ἥρωος.)

822. οἷός περ ἡμῖν : (Ἄρρυθμος καὶ μακρός. προείρηται γὰρ ὅτι φαῦλος ἦν τὴν ὄψιν καὶ κακοσύνθετος τὸ σῶμα ὁ Κλεώνυμος. τοῦτο δὲ εἶπε) καθὸ καὶ χαλεπὸς ἦν δημαγωγός. ῥίψασπις δὲ ἦν.

823. (οὐδ' αὐτός : Ἐπειδὴ ῥίψασπις ὁ Κλεώνυμος. εἶχον δὲ καὶ οἱ ἥρωες πανοπλίαν. καὶ δῆλον ἐκ τῶν Δαιταλέων.)

830. ἄνευ δρυφάκτου : Δρύφακτος τὸ παρατεινόμενον [[ὡς εἴρηται]] ξύλον τοῖς δικασταῖς.

831. ὃ πρῶτον ἡμῖν : Ἀπὸ τῶν θυόντων. ἐκεῖνοι γὰρ πρῶτον τὸ ἧπαρ ἐπισκοποῦνται, εἶτα σπλῆνα καὶ τὰ λοιπά. — ἡμῖν τοῖς δικασταῖς. V.

833. (τό γε παρ' αὐτίκ' ἔνδον : Τὸ παραυτὰ εὑρισκόμενον ἀντὶ τοῦ δρυφάκτου.)

834. (τί ποτε τὸ χρῆμα : Τοῦτο ὁ νεανίσκος. φιλοχωρία δὲ,) ὡσεὶ ἔλεγε τὸ ἐπιχωριάζειν. (δεινὸν, φησὶ, τὰ ἐπιχώρια φιλεῖν, ὅπου καὶ οὗτος τὰ ἐν δικαστηρίῳ φιλεῖ πάντα.)

835. (βάλλ' ἐς κόρακας : Ἔξεισιν ὁ οἰκέτης κυνὶ ἐγκαλῶν. λείπει δὲ οὐδεὶς ὤφειλεν, ἢ χαλεπὸν, ἢ δεινόν.)

836. (οὐ γὰρ ὁ Λάβης ἀρτίως : Ἔσωθέν τις τούτων. τῷ δὲ κυνὶ ὄνομα Λάβης ἀπὸ τοῦ λαμβάνειν θηρία. τυρὸν δὲ ἥρπασεν οὗτος. ἀξιοῦσι δέ τινες ὡς παρὰ γράμμα κωμῳδεῖσθαι Λάχητα τὸν στρατηγήσαντα

περὶ Σικελίαν ἐπὶ δωροδοκίᾳ, καὶ τὰ ἑξῆς ἐπὶ ταύτην λέγεσθαι τὴν ὑπόνοιαν. ὅτι δὲ νοσφιστὴς καὶ ὑπὸ ἄλλων κωμῳδεῖται προείρηται. τοῦτο δὲ κομψόν ἐστιν. οὐ πάνυ δὲ οἰκεῖον δοκεῖ, ἐπεὶ κἂν παρεδήλωσεν αὐτό. ἀλλ' ἔοικεν ὁ Λάβης ὠνοματοπεποιῆσθαι ἁπλῶς, καθάπερ ὁ Δάκης ὁ παρὰ Τηλεκλείδῃ ἐν Πρυτάνεσι,

Δάκης τίς ἐστιν ὄντιν' ἀνθρώπων ὁρᾷς.

ἰπνὸς δὲ ὁ φοῦρνος. κυρίως μὲν ἡ κάμινος, ἢ ὁ φανὸς, καταχρηστικῶς δὲ ἡ ἐσχάρα. καὶ ἴπνια τὰ ἀποκαθάρματα τοῦ ἰπνοῦ. ἢ τὰ πρὸς τὴν κάμινον ἐπιτήδεια καύσιμα. Καλλίμαχος δὲ [fr. 216] τὴν κόπρον τῶν ζῴων,

σὺν δ' ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ' ἄειρεν.)

838. τροφαλίδα : Τροφαλὶς κυρίως ὁ κύκλος τοῦ τροχοῦ. πολὺς δὲ τυρὸς ἐν Σικελίᾳ. R. (οἱ μὲν τὸν ἐπιμήκη τυρὸν, οἱ δὲ τροχὸν τυροῦ. πολυθρέμμων δὲ ἡ Σικελία, διὸ τυρὸν πολὺν καὶ κάλλιστον ἔχει.)

841. ἀλλ' ἅτερός φησι κύων : Νῦν τὰ μὲν πρόσωπα τῶν κυνῶν ἐστι, τὰ δὲ πράγματα πολιτικά. εἰσάγει γάρ τινα κλέπτην κατηγορούμενον ὑπὸ πολίτου ἑτέρου. φανεροὶ δὲ ἦσαν τοῖς τότε (ἀφ' ὧν λέγει δήμων). ἅμα δὲ ὡς κυνώδεις αὐτοὺς διαβάλλει.

843. τῷ πατρὶ, ἢ αὐτοὺς τοὺς κύνας. R.

844. χοιροκομεῖόν ἐστιν ἀγγεῖόν τι (καννωτὸν), ὅπου οἱ χοῖροι τρέφονται. (Ἑστίας δὲ, ἐπεὶ ἐπὶ τῆς ἑστίας τρέφουσι χοίρους. εἰσφέρει δὲ τοῦτο ἀντὶ δρυφάκτου, ἢ κιγκλίδος. ἐν τῇ Λυσιστράτῃ [1073] κλοιὸν μᾶλλον ἢ πάσσαλον ἐμφαίνει, ὡς καὶ τούτου ὁμοίως λεγομένου, ὅπου ὁ χοῖρος δέδεται. Ἄλλως. ἔξεισιν ὁ ἕτερος τῶν οἰκετῶν ἀντὶ δρυφάκτων χοιροκομεῖον ἔχων. ἔστι δὲ τὸ καλούμενον ζωγρεῖον καννωτὸν, ὅπου οἱ χοῖροι τρέφονται.)

846. (ἀφ' Ἑστίας ἀρχόμενος : Ἐν γὰρ ταῖς σπονδαῖς ἀφ' Ἑστίας ἄρχονται, καὶ οὕτως ἐκ τῶν ἄλλων θεῶν. ὡς ἐν κωμῳδίᾳ δὲ ὁ θεράπων παίζει φήσας, ἐπιτρίψω τινά. ἐπὶ γὰρ τοῦ χοιροκομείου μέλλει δικάζειν ὁ Φιλοκλέων καὶ καταδικάζειν ὡς φιλόδικος. ἔστι δὲ παροιμία, ἀφ' Ἑστίας ἄρχου. μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ καθημένων. τῇ γὰρ Ἑστίᾳ τὰς ἀπαρχὰς ἔθος ἦν ποιεῖσθαι. — καὶ Σοφοκλῆς ἐν Χρύσῃ « ὦ πρῷρα λοιβῆς Ἑστία κλύεις τάδε; » V. — μῦθον δὲ συνέθηκεν Ἀριστόκριτος οὕτως ἔχοντα. μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχὴν, τὸν Δία δεξάμενον τὴν βασιλείαν, ἐπιτρέπειν Ἑστίᾳ λαβεῖν ὅ τι βούλοιτο. τὴν δὲ πρῶτον μὲν παρθενίαν αἰτῆσαι, μετὰ δὲ τὴν παρθενίαν ἀπαρχὰς θυομένων αὐτῇ νέμεσθαι πρώτῃ παρὰ τῶν ἀνθρώπων. κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ἐν Εὐθύφρονι [p. 3, A] « βουλοίμην ἄν, ὦ « Σώκρατες, ἀλλ' ὀρρωδῶ μὴ τοὐναντίον γένηται. ἀτε« χνῶς γὰρ ἀφ' Ἑστίας δοκεῖ μοι ἄρχεσθαι κακουργεῖν « τὴν πόλιν, σὲ ἐπιχειρῶν ἀδικεῖν. ») — τινα : τὸν καταδικασθέντα δηλονότι. R.

847. ἐπειδὴ συνετίμων οἱ δικασταί. R.

848. (τὰς σανίδας : Σανίδας φησὶν ἐν αἷς ἔγραφον τὴν μακρὰν ἢ τὴν βραχεῖαν τῆς δίκης. γραφὰς δὲ νῦν ἀντὶ τοῦ τὸ γραφεῖον ἐν ᾧ ἔγραφον.)

849. (οἴμοι διατρίψεις : Ἐπειγόμενος εἰς τὸ δικάζειν φησὶ, δύναμαι καὶ χωρὶς γραφείου δικάσαι, τοῖς ὄνυξι τὴν τοῦ γραφείου τάξιν ἀποπληρῶν.)

850. ἀλοκίζειν : ἀροτριᾶν. (ἀλοκίζειν τὸ τῷ ὄνυχι γράφειν εἰς τὸ τιμητικὸν πινάκιον, οὕτως εἴρηκεν, οἷον αὔλακας σχίζειν.)

852. (ὁ πρῶτός ἐστιν : Ὁ κατηγορῶν. ὡς φιλόδικος δὲ φαντάζεται εἰσαγωγήν τινος πρώτου.)

853. (ὅτιὴ 'πιλαθόμην : Πάλιν ὑπερθέσεως καιρὸν πορίζων, φησὶν ἐπιλελῆσθαι τοὺς καδίσκους.)

855. ἀρυστίχους : ( Ἀρύστιχος καὶ ἄρυστις καὶ ἀρυστὴρ ) ἀγγεῖόν ἐστιν ᾧ ἔστιν ἀρύσασθαι, ( κοτύλη, ἢ κύαθος. εἶχον δὲ, φησὶν, αὐτοὺς πρὸς τὴν διαψήφισιν. ἀρυστίχους δὲ οὓς ἐνίοτε κοτυλίσκους. Ἄλλως. ἀρυστίχους τοὺς οἰνοχόους εἴρηκεν, ἀπὸ τοῦ ἀρύειν· ἔνθεν καὶ ἀρύταινα. ἔλεγον δὲ καὶ ἔφηβον τὸ τοιοῦτον σκεῦος. ἥβην γὰρ οἱ παλαιοὶ τὸ τέρπεσθαι κατὰ τὰς εὐωχίας προσηγόρευον. καὶ ὁ ποιητὴς τοίνυν ἀπὸ ταύτης τῆς αἰτίας τὴν Ἥβην συνεστήσατο, καὶ διὰ τοῦτο τοῖς θεοῖς οἰνοχοοῦσαν παρεισήγαγεν, οἰκείαν τῇ τεταγμένῃ ὑποθέσει τὴν λειτουργίαν αὐτῇ προσμερίζων.)

857. (κλεψύδρας : Κλεψύδρα κρήνη ἐν τῇ Ἀττικῇ, ἥτις Ἐμπεδὼ προσηγορεύετο. σημαίνει δὲ τὸ σκεῦος νῦν.)

858. ἠδὶ δέ : (Μήποτε) τὸ αἰδοῖον (αὐτῷ) δείκνυσιν (ὁ πρεσβύτης, ὅτι οὐρεῖ ὡς ἡ κλεψύδρα. ἀμὶς γὰρ αὐτῷ παράκειται).

859. κἀπιχωρίως : (Οἷον σκωπτικῶς καὶ φλυάρως.) ἐπιχώριον γὰρ ἦν αὐτοῖς τὸ ( σκώπτειν καὶ ) παίζειν, (ἐκ πολλῆς εἰδήσεως τοῦ Ἑλληνισμοῦ).

861. (μυρρίνας : Μυρρίναις γὰρ ἐστεφανοῦντο οἱ ἄρχοντες. καὶ μυρρινῶν, ἀρχῆς ἐπιθυμῶν).

862. (ὅπως ἂν εὐξώμεσθα : Ὡς ἐπὶ μεγίστου πράγματος τερατεύεται. οἱ γὰρ ἐπιχειροῦντες εἴς τι πρᾶγμα εἰώθασι τοῖς θεοῖς εὐχὰς ποιεῖν καὶ θυσίας.)

863. [καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς : Ἡ ἀμοιβαία αὕτη περίοδος ἔοικεν ἐκθέσει διπλῆς· διὸ καὶ τὸ παρατέλευτον ἔχει κῶλον. ἔστι γοῦν περιόδων τριῶν, καὶ εἰσὶ τῆς πρώτης περιόδου κῶλα τέσσαρα, ὧν τὸ πρῶτον ἀναπαιστικὸν τρίμετρον ἀκατάληκτον. τὰ ἑξῆς δύο δίμετρα ἀκατάληκτα. τὸ τέταρτον δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. μεθ' ὃ ἐν εἰσθέσει ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τῆς δευτέρας περιόδου κῶλα ἕξ, ὧν τὸ πρῶτον ὅμοιον, τὸ δεύτερον ἐφθημιμερὲς, τὰ ἑξῆς τρία δίμετρα ἀκατάληκτα, τὸ ἕκτον πενθημιμερές. τῆς τρίτης περιόδου ἀναπαιστικὰ κῶλα δέκα, ὧν τὰ πρῶτα τέσσαρα τετράμετρα καταληκτικὰ, τὸ ε' καὶ ς' τρίμετρα ἀκατάληκτα, τὸ ζ' καὶ τὸ η' δίμετρα ἀκατάληκτα, τὸ θ' ἀναπαιστικὴ βάσις, ὃ καὶ παρατέλευτον ὀνομάζεται, τὸ δὲ ι' τὸ « τὴν ἀκαλήφην ἀφελέσθαι, » δίμετρον καταληκτικόν. ἐφ' ἑκάστῃ πε-

ριόδῳ παράγραφος. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ ἔσω νενευκυῖαι.]

865. (φήμην ἀγαθήν : Συνευξόμεθα, ὥστε ταῦτα γενέσθαι.)

867. (καὶ τοῦ νείκους : Ἐκ τῆς φιλονεικίας εἰς φιλίαν ἐτράπητε.)

874. (ἰήϊε Παιάν : Ὡς ἐπὶ κακῶν λήξει τὸν Παιᾶνα ὕμνον ᾄδουσιν.)

875. (γεῖτον ἀγυιεῦ : Περὶ τοῦ ἀγυιέως Ἀπόλλωνος Διευχίδας οὕτως γράφει, « ἐν δὲ τῷ ἰατρῷ τοῦτο διαμένει, καὶ ἔτι καὶ νῦν ἐστιν ὡς ἀγυιεὺς τῶν Δωριέων οἰκησάντων ἐν τῷ τόπῳ ἀνάθημα. καὶ οὗτος καταμηνύει ὅτι Δωριέων ἐστὶ τὰ τῶν Ἑλλήνων. τούτοις γὰρ ἐπὶ τὰς στρατιὰς φάσματος οἱ Δωριεῖς ἀπομιμούμενοι τὰς ἀγυιὰς ἱστᾶσιν ἔτι καὶ νῦν τῷ Ἀπόλλωνι. » Ἄλλως. πρὸ τῶν θυρῶν ἔθος εἶχον κίονας εἰς ὀξὺ λήγοντας ὡς ὀβελίσκους ἱδρύειν εἰς τιμὴν Ἀπόλλωνος ἀγυιέως.)

878. (ἀντὶ σιραίου : Μὴ σίραιον, ἀλλὰ μέλι παραμίξας. σίραιον δὲ τὸ ἡψημένον γλεῦκος, βραχὺ δ' ἔχον παράπικρον, ὅταν καθεψηθῇ.)

884. (τὴν ἀκαλήφην : Τὴν λεγομένην κνίδην, ἣν προσφέροντες τῷ σώματι κνηστιᾶν αὐτὸ ποιοῦμεν. Ἄλλως. μεταφορικῶς τὸ τραχὺ καὶ δηκτικὸν, ἣν καὶ ἀκαλήφην λέγεσθαί φησι Κράτης ἐν Φοινίσσαις. ἔστι δὲ καὶ θαλάττιος ἰχθὺς οὕτω λεγόμενος ἀκαλήφη.)

886. τῶν παρ' ἡμῶν σοι εἰρημένων, ἢ τῶν παρὰ σοῦ ἡμῖν λεχθέντων (ῥηθέντων *G.*) V.

887. εὖνοι : Προπερισπωμένως, εἴτε τοῦ εὔνους ἐστί. V.

890. (τῶν γενναιοτέρων : Εἰ μὲν γενναιοτέρων, τῶν σπουδαίων· εἰ δὲ νεωτέρων, τῶν ὁμηλίκων.)

891. Βδελυκλέων μιμεῖται τὸν κήρυκα. V.

892. (ὡς ἡνίκ' ἂν λέγωσιν : Ἔθος γὰρ ἦν πρὸ μὲν τῆς καταστάσεως τῶν ῥητόρων κηρύττειν τοὺς δικαστὰς, ὁπότε δὲ ἤρχοντο τῶν δικῶν, οὐκέτι εἴων εἰσιέναι τοὺς ὑστεροῦντας δικαστάς. ἁλώσεται δὲ καταδικασθήσεται.) — οὐκ εἰσφρήσομεν : οὐ συγχωρήσομεν εἰσελθεῖν. *R. V. Vict.*

893. ἁλώσεται : Ὡς μέλλων καταδικασθῆναι. *Vict.*

895. (κύων Κυδαθηναιεύς : Ἔπαιξε παρὰ τὸν κύνα, Κυδαθηναιᾶ φάσκων αὐτόν. ὡς ἐπὶ ἀνθρώπων δὲ ποιεῖται τὴν κατηγορίαν.

Κυδαθηναιεὺς : Ἀπὸ δήμου τῆς Πανδιονίδος φυλῆς, Αἰξωνεὺς δὲ ἀπὸ δήμου τῆς Κεκροπίδος.)

897. οὕτω κατεγράφοντο καὶ ἔλεγον τὴν τιμωρίαν. οὗτος δὲ ὡς ἐπὶ κυνὸς εἶπε τὸ κλοιὸς, ὅπερ ἐστὶ τὸ ξύλον τὸ ἐμβαλλόμενον εἰς τὸν τένοντα τοῦ κυνός. V. κλῳὸς σύκινος : Οὕτως οἱ Ἀττικοὶ τὸν κλοιὸν κλῳὸν ἔλεγον. (σύκινον δὲ διὰ τὸ βραχὺ τοῦ ξύλου. Ἄλλως. τὸ κολλάριον τὸ παρ' ἡμῖν λεγόμενον, ᾧ εἰώθασι τοὺς κύνας προσδεσμεύειν ἐν τοῖς ἀγροῖς. ἔστι δὲ ξύλινον.) — κλῳός : Κλοιὸς μέρος τι τῆς νεώς, ἢ περιτραχήλιος δεσμός. *Vict.*

898. (θάνατος μὲν οὖν κύνειός : Παίζει ὡς ἐν κωμῳδίᾳ καταδικάζων τὸν Λάβητα κυνείῳ θανάτῳ, ἅμα δὲ ὅτι καὶ χαλεπός ἐστιν ὁ τοῦ κυνὸς θάνατος. δυσχερῶς γὰρ ἀφίησι τὸ πνεῦμα.)

900. (ὡς δὲ καὶ κλέπτον βλέπει : Ἀντὶ τοῦ κλεπτικόν. κλέπτον δὲ βαρέως Ἀττικοὶ, καθὰ καὶ Εἰρηναῖός φησιν.)

901. (οἷον σεσηρώς : Οἱ γὰρ κύνες μετὰ τὸ φαγεῖν σεσήρασιν. οἱ δὲ σεσηρότες κύνες.)

σεσηρώς : Σεσηρὼς, κεχηνὼς, διηνοιγμένον, ἀνοικτὸν ἔχων τὸ στόμα. *Vict.*

902. (ποῦ δ' οὑδιώκων : Τὸ πλῆρες, ποῦ δὲ ὁ διώκων. ἐκτείνουσι μέντοι καὶ τὸ ὁ ἄρθρον. Εὔπολις Αἰξὶ « τὴν « πανδοκεύτριαν γὰρ ἀνὴρ ὁ γλάμων | ἔχει. »)

903. (αὖ αὖ : Ὁ κύων λέγει ὑπακούων, οἷον ὅτι ὧδε εἰμί. μιμεῖται δὲ τὴν φωνὴν τοῦ κυνὸς διὰ τοῦ αὖ αὖ.

πάρεστιν ἕτερος : Ἀντὶ τοῦ ὁ κατήγορος. ὁ Φιλοκλέων δέ φησι πρὸς τὸν Λάβητα ὅτι πάρεστιν ὁ κατήγορός σου, ἐν ἤθει.)

904. ὑλακτεῖν : Συνηγορεῖν τῷ κυνί. *Vict.*

905. τῷ Κυδαθηναιεῖ φησι. V.

907. ὁ συνηγορῶν τῷ Κυδαθηναιεῖ. V.

909. καὶ τὸ ῥυππαπαί : (Καὶ τὸ ναυτικόν. διὰ δὲ Χάρητα πάλιν τοῦτο λέγει. ἴσως γὰρ καὶ τὸ ναυτικὸν στράτευμα ἠδίκησεν. ἔστι δὲ ἐπίρρημα τὸ ῥυππαπαὶ ναυτικὸν, ὃ ἐν τῇ κωπηλασίᾳ φασὶν, ὡς ἐγκέλευσμα. Ἄλλως. συμβολικῶς) τὸ ναυτικόν. τοῦτο γὰρ ἐπιφώνημά ἐστι ναυτικόν. (ὡς τῶν ἐρετῶν δὲ καὶ ναυτῶν περὶ πλείστου ποιουμένων τὸν τυρόν.)

911. κατεσικέλιζε : (Τὸν Σικελικὸν κατήσθιεν,) ἐπειδὴ Σικελικὸν ἔφη τὸν τυρόν. (παίζει δὲ ἀντὶ τοῦ ἤσθιε καὶ ἐκορέσθη. ἐν τῷ σκότῳ δὲ, ἐπειδὴ ἐν μέρει τῆς δύσεως ἡ Σικελία. ἐνήρυγε δὲ ἠρεύξατο.)

ἐμυκᾶτο, ἔπτυεν. *Vict.*

914. (ὁ βδελυρός : Τὸ ἑξῆς, κατεσικέλιζεν ὁ βδελυρός. ἔνιοι δὲ τὸ ὁ βδελυρὸς τῷ Φιλοκλέωνι διδόασι.)

916. κἀμοὶ — τῷ κυνί : καθὸ δικαστὴς καὶ κυνώδης. πτωχὸς γάρ. *R. Vict.*

917. (οὐδὲ τῷ κοινῷ γέ μοι : Τῷ κοινῷ ἀντὶ τοῦ τῷ κοινωνῷ. οἱ δὲ τῷ κοινῷ ἐπὶ τῶν καλουμένων οὐδὲ μέχρι κοινοῦ λόγου. ἔστι δὲ τὰ μὲν πρὸ τούτων τοῦ θεράποντος, τὰ δὲ τοῦ γέροντος.)

918. (ἧττον τῆς φακῆς : Ἔπαιξεν ὡς ῥοφῶν φακῆν. τὸ δὲ ἄνδρα παίζων εἴρηκεν.)

(924). ὅστις περιπλεύσας : Ἀντὶ τοῦ τὴν Σικελικὴν [θάλασσαν], διὰ τὰς νήσους. παρ' ὑπόνοιαν δὲ εἶπε διὰ τὸν Χάρητα, ὅτι ἐν Σικελίᾳ ὢν τοὺς Σικελιώτας πάντας ἐπραίδευεν. ἀντὶ τοῦ ὅστις περιελθὼν τὸν τυρὸν ἀφείλετο. δέον δὲ εἰπεῖν τὴν θάλασσαν [ἢ τὴν Σικελίαν] ἔπαιξε παρὰ τὴν ὑπόνοιαν. θυεία δὲ ἡ ἴγδις, ἀγγεῖον εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν καὶ λειοῦμεν, ὡς ἑτέρωθι [Pac. 228] Ἀριστοφάνης

καὶ θυείαν ἑσπέρας
ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο,
καὶ τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.

925. (τὸ σκῖρον ἐξεδήδοκεν : Σκῖρον τὸ ῥυπῶδες τὸ ἐπὶ τῶν τυρῶν, ὡς Εὔπολις Χρυσῷ γένει « λοιπὸς γὰρ « οὐδείς. τροφαλὶς ἐκείνη ἐφ' ὕδωρ βαδίζει σκῖρον ἠμ- « φιεσμένη. » ἀπὸ τούτου καὶ τὰ λίαν προσεχόμενα ἐνεσκιρῶσθαι λέγεται.)

(926). ἐμοὶ δέ γ' οὐκ ἔστ' : Ὅτι λέγεται καὶ γῆ σκιρρὰς, λευκή τις [ὡς γύψος], καὶ Ἀθηνᾶ Σκιρρὰς, ὅτι τῇ λευκῇ χρίεται. πρὸς τὴν ὁμωνυμίαν οὖν. Ἄλλως. ἐμοὶ δέ γε οὐκ ἔστιν, οἷον οὐκέτι ἔχω οὐδὲ ἐκπλάσαι τὴν ὑδρίαν ἐκ τῆς λατύπης, ἀλλὰ πᾶσα ἀνάλωται. εἰώθασι δὲ τὰ ῥήγματα τῶν ὑδριῶν τῇ λατύπῃ διαπλάττειν. ὑδρία δὲ τὸ ἀγγεῖον ἰωτογραφούμενον, ὑδρεία δὲ τὸ ὑδρεύεσθαι διὰ διφθόγγου.

927. (οὐ γὰρ ἄν ποτε τρέφειν δύναιτ' ἄν : Ἀντὶ τοῦ εἷς οἶκος οὐ δύναται τρέφειν τοὺς δύο κύνας. εἴρηται δὲ παρὰ τὴν παροιμίαν, μία λόχμη δύο ἐριθάκους οὐ τρέφει. Ἄλλως. παροιμία, οὐ τρέφει μία λόχμη δύο ἐριθάκους. ἔστι δὲ ὄρνεον ὑπὸ μέν τινων καλούμενον ἐριθεὺς, ὑπὸ δὲ ἑτέρων ἐρίθυλος, ὑπὸ τῶν πλειόνων ἐρίθακος.)

930. (οὐ κεκλάγξομαι : Ἐὰν, φησὶ, μὴ καταδικάσῃς αὐτὸν, οὐκέτι κραυγάσω. διὰ γὰρ τῆς βοῆς οἱ κύνες φρουροῦσιν.)

933. (κλέπτον τὸ χρῆμα : Ἀντὶ τοῦ κλεπτικόν. ἔπαιξε δέ. ἢ ἐν κωμῳδίᾳ εἴρηται τἀνδρὸς καὶ οὐ κυνός.)

934. (ὦ 'λεκτρυών : Ὑπέρκειται γὰρ τοῦ δικαστηρίου αὐτοῦ ἀλεκτρυὼν, ὡς ἐν τοῖς ἄνω ἐδήλωσεν. καταμύει δὲ ἐπινεύει. οὐρῆσαι δὲ θέλων ἀμίδα αἰτεῖ.)

936. (τοὺς μάρτυρας γάρ : Ὅσα ἐν τῷ μαγειρείῳ τυγχάνει ἐργαλεῖα, τοῦ γελοίου χάριν ἄξαι φησὶ ταῦτα εἰς μαρτυρίαν αὐτοῦ. καὶ ὅτι ἐν τῷ μαγειρείῳ ἡρπάγη ὁ τυρός.)

939. προσκεκαυμένα : Τὰ εἰς τὸ καίεσθαι ἐπιτήδεια. *Vict.*

941. (οἶμ' ἐγὼ χεσεῖσθαι : Πρὸς τὸ οὐρῆσαι ἐπήνεγκε τὸ χεσεῖσθαι ποιήσω τὸν Λάβητα. ὡς φιλόδικος δὲ ἀπειλεῖ καταδικάσαι αὐτόν.)

943. (ἀλλ' ὀδὰξ ἔχει : Οἷον οὐδὲν φθέγγεται, ἀλλὰ τοὺς ὀδόντας δηκτικῶς κατέχει ὁ κύων. Ἄλλως. διασπαράξαι βούλει τοῖς ὀδοῦσι τὸν κύνα, ἵν' ᾖ τὸ ἔχει δευτέρου προσώπου Ἀττικοῦ.)

947. ὅπερ ποτὲ φεύγων ἔπαθεν : (Θουκυδίδην λέγει τὸν Μελησίου) ⟦Ἀλωπεκῆθεν⟧. τοῦτον δὲ ἐξωστράκισαν Ἀθηναῖοι τὰ ι' ἔτη κατὰ τὸν νόμον· (οὐ ξένον δὲ, ὅτι ἑτέρωθι μὲν ἐξωστρακίσθαι φησὶν αὐτὸν, νῦν δὲ φεύγειν. εἶδος γάρ τι φυγῆς ἐστιν ὁ ὀστρακισμός. ἐν δὲ τοῖς εἴδεσι περιέχεται τὰ γένη. καὶ τὸ μὲν ἐξωστρακίσθαι φεύγειν ἄν τις εἰκότως εἴποι, τὸ δὲ φεύγειν οὐκέτι ἐξωστρακίσθαι.) διαφέρει γὰρ φυγὴ ὀστρακισμοῦ, καθὸ τῶν μὲν φευγόντων αἱ οὐσίαι δημεύονται, τῶν δὲ ὀστρακισμῷ μεταστάντων οὐκέτι (κύριος ὁ δῆμος. καὶ τοῖς μὲν καὶ τόπος ἀπεδίδοτο καὶ χρόνος, τοῖς δὲ οὐδέτερον τούτων. ὅτι δὲ ὁ Ἀθηναίων δῆμος ἀειφυγίαν αὐτοῦ καταγνοὺς ἐδήμευσε τὴν οὐσίαν, καὶ πρὸς Ἀρταξέρξην ἧκε φεύγων, σαφὲς ποιεῖ Ἰδομενεὺς διὰ τοῦ β' τὸν τρόπον τοῦτον, « οἱ « μέντοι Ἀθηναῖοι αὐτοῦ καὶ γένους ἀειφυγίαν κατέγνω- « σαν, προδιδόντος τὴν Ἑλλάδα, καὶ αὐτοῦ ἡ οὐσία ἐδη- « μεύθη. » Ἄλλως. Θουκυδίδης Μελησίου υἱὸς Περικλεῖ ἀντιπολιτευσάμενος. τέσσαρες δέ εἰσι Θουκυδίδαι Ἀθηναῖοι, ὁ ἱστοριογράφος καὶ ὁ Γαργήττιος καὶ ὁ Θετταλὸς καὶ οὗτος ῥήτωρ ἄριστος τυγχάνων, ὃς κατηγορηθεὶς ἐν τῷ δικάζειν οὐκ ἠδυνήθη ἀπολογήσασθαι ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὥσπερ ἐγκατεχομένην ἔσχε τὴν γλῶτταν, καὶ οὕτω κατεδικάσθη, εἶτα ἐξωστρακίσθη. Ἄλλως. πρὸς τὴν ἱστορίαν. μήποτε ὁ Περικλεῖ ἀντιπολιτευσάμενος. τοῦτο δὲ Φιλόχορος μὲν ἱστορεῖ. ὃς οὐδὲ πάντη γνώριμος ἐγένετο· ἀλλ' οὐδὲ παρὰ τοῖς κωμικοῖς, διὰ τὸ ἐπ' ὀλίγον στρατείας ἀξιωθέντα μετὰ Κλέωνος ἐπὶ Θρᾴκης φυγῇ καταψηφισθῆναι. ἔνιοι δὲ, ὧν καὶ Ἀμμώνιος τοῦ Στεφάνου, * * * καὶ τοῦτο δὲ ὑπίδοι τις, ὥσπερ προείρηται. ὁ γενόμενος ὀστρακισμὸς ἐμφαίνει τὸν Μελησίου καὶ τὸν ὀστρακισθέντα. Θεόπομπος μέντοι ὁ ἱστορικὸς τὸν Πανταίνου φησὶν ἀντιπολιτεύσασθαι Περικλεῖ, ἀλλ' οὐκ Ἀνδροτίων, ἀλλὰ καὶ αὐτὸς τὸν Μελησίου.)

948. δέον εἰπεῖν τὴν γλῶσσαν. V.

949. (πάρεχ' ἐκποδών : Λακτίσας τὸν κύνα, φησὶν, ἀναχώρει.) τοὺς συκοφάντας λύκους καλεῖ.

953. (ξυνωμότης : Προδότης. ὡς ἐπὶ ἀνθρώπου δὲ εἶπεν.)

955. (οἷός τε : Δυνατός ἐστι, φησὶ, προβάτων προΐστασθαι.)

956. τὸν τυρὸν εἰ κατεσθίει : Ἄλλῳ τρόπῳ, φησὶ, βλάπτει. *Vict.*

959. κιθαρίζειν γὰρ οὐκ ἐπίσταται : (Ὡσεὶ εἶπεν· οὐδὲν ἄλλο ἐπίσταται πλὴν τὸ κλέπτειν.) παρὰ τὴν παροιμίαν « πεζῇ βαδίζω, νεῖν γὰρ οὐκ ἐπίσταμαι. » (οὐδὲν δὲ πρὸς ἔπος. δέον γὰρ εἰπεῖν ὑπὸ πείνης τοῦτο ποιεῖ, ὁ δὲ παρ' ὑπόνοιαν τοῦτο ἐπήγαγεν.)

960. ἀπὸ κοινοῦ τὸ ἐπίστασθαι. V.

961. κακουργῶν ἐνέγραφ' ἡμῖν : ὡς γραπτὸν δεδωκότος λόγον τοῦ ἀπολογουμένου κυνός. *R. V. Vict.*

962. (τῶν μαρτύρων : Ἀπολογουμένων δηλονότι.)

963. τυρόκνηστι : Τὴν ἀπολογίαν. V. (ὡς πρὸς τὸν Χάρητα πάλιν καὶ τοῦτο, ὡς ἐν κωμῳδίᾳ.)

964. (ταμιεύουσα : Ἐν τῷ ταμείῳ οὖσα. ἐν τούτοις καὶ ὅλῳ τῷ τρόπῳ τῆς δίκης ἐχαρακτήρισε τὰς ἐν ταῖς εὐθύναις τῶν ἀρχόντων ἀπολογίας.)

965. (κατέκνησας : Ἀντὶ τοῦ ἔτεμες, ἐμέρισας τοῖς στρατιώταις, ἃ ἔλαβες τυρία. ὡς ἐπὶ δημοσίου δὲ πράγματος ἀξιοπιστίαν περιποιεῖται τῇ μαρτυρίᾳ, διὰ τοῦ στρατιώταις εἰπεῖν τετμηκέναι.)

968. (καὶ τραχήλι' ἐσθίει : Τὰ ἄκρα καὶ τὰ εὐτελῆ κρέα. ἐν τοῖς ὑπομνήμασι δὲ γέγραπται περὶ τῶν τραχηλίων οὕτως· τὰ ἀποβαλλόμενα τῶν ὄψων, ὡς μικρὰ κλέπτοντος αὐτοῦ. πεπλάνηται δέ. ἔστι δὲ τραχήλιόν τι βραχὺ τελέως, παραπλήσιον τοῖς κυρηβίοις, τουτέστι πιτύροις, τοῖς ἀπὸ τῶν κριθῶν ἀποβρέγμασι, τοῖς ἀχύροις. λέγονται δὲ καὶ ἀρσενικῶς οἱ τράχηλοι. ἔστι δὲ

εὐτελὲς προσόψημα ἐν λοπαδίσκοις σκευαζόμενον. Ἄλλως. τὰ κεφάλαια τῶν ἰχθύων, ὡς ἀκανθώδη. καὶ Φερεκράτης ἐν Ἐπιλήσμοσιν « ὅστις παρέθηκε κράνην. » χαρακτηρίζει δὲ τοὺς μικροκλέπτας ἐν τοῖς ἑξῆς. τοὺς οἴκοι μένοντας τῶν πολιτῶν, καὶ ἁρπάζοντας.)

969. (καὶ τὰς ἀκάνθας : Ἅμα μὲν ἐπὶ τοῦ κυνὸς, εὐτελέσι τε χρωμένου καὶ πανταχῇ φοιτῶντος, ἅμα δὲ καὶ ὡς ἐπὶ στρατηγοῦ προϊόντος. καὶ Λάχης γὰρ εἷς τῶν ἐξιόντων στρατηγῶν ἐγένετο ἐν ταῖς ἐξόδοις.)

970. (ὁ δ' ἕτερος οἷός ἐστιν : Ὁ κατήγορος. εἴη δ' ἂν ὁ Κλέων, ὅν φησιν ἐνδομυχοῦντα τὰ τῆς πόλεως κατεσθίειν. τοὺς οἴκοι οὖν μένοντας τῶν πολιτῶν καὶ ἁρπάζοντας χαρακτηρίζει.)

973. (αἰβοῖ : Ὡς μαλαχθεὶς ὁ γέρων δυσαρεστεῖται, κακόν τι νομίζων αὐτὸ εἶναι, διὰ τὸ ἄηθες εἶναι αὐτῷ.)

975. οἰκτείρατ' αὐτόν : Τὸν γέροντα. ὦ πάτερ : Ὡς πρὸς δικαστήριον ὁ λόγος. *Vict.*

976. καὶ μὴ διαφθείρητε : Ὡς πρὸς τὸ δικαστήριον ὁ λόγος καὶ τὸν γέροντα.

(ποῦ τὰ παιδία : Ὅτι καὶ τὰ παιδία κλαίει ἐν τοῖς δικαστηρίοις τῶν κατηγορουμένων. καὶ ἀνωτέρω δὲ εἶπεν.)

977. (κνυζόμενα : Παρακλαίοντα. ὡς ἐπὶ κυνῶν δὲ εἶπε. κνυζηθμὸς γὰρ λέγεται ποιά τις ἐπὶ κυνῶν φωνή.)

979. κατάβα κατάβα : Ὅτι συνήθως οὕτως ἔλεγον ἐν τοῖς δικαστηρίοις κατάβηθι. R. (εἰώθασι γὰρ λέγειν οἱ δικασταὶ, ὅταν ἀπολύωσι καὶ πείθωσι τοῖς λόγοις, μηκέτι λέγε. πολλάκις γὰρ εἰπόντες τὸ κατάβα ἐξηπάτησαν.)

982. ἀντὶ τοῦ λόγων ἀκοῦσαι καὶ ἐλεῆσαι εἶπε ῥοφῆσαι. V.

983. ἐγὼ γὰρ ἀπεδάκρυσα : (Κοινόν τι παθὼν ὁ πρεσβύτης, καὶ ἐπιδακρύσας τῷ τῶν παίδων ὀδυρμῷ, αἰτιᾶται ὡς ἐκ τῆς φακῆς τοῦτο πεπονθὼς, καὶ οὐκ ἐξ ἰδίας προαιρέσεως.) φησὶν οὖν ὅτι τὸ ῥοφεῖν κακοῦ μοι ἐγένετο αἴτιον. ἠμβλύνθην γὰρ τῆς ὁρμῆς. (οὐδέποτε γὰρ τὴν γνώμην μου οὐδενὶ εἶπον, εἰ μὴ νῦν, ὅτι ἐρρόφησα τὴν φακῆν. ἅμα δὲ καὶ ὅτι οἱ ἐσθίοντες τὴν φακῆν ἀβουλήτως δακρύουσι θερμῆς οὔσης αὐτῆς.)

(ἀπεδάκρυσα : Διὰ τὴν θερμασίαν. ἐδάκρυσα, φησὶν, ὅτι παρὰ τὸ ἔθος ἐποίησα, ἢ ὑπεχάλασα τῆς ὀργῆς καὶ γνώμην ἐμὴν εἶπον.)

γνώμην ἐμήν : ἀντὶ τοῦ κατὰ γνώμην ἐμήν. *R. Vict.*

985. (χαλεπὸν εἰδέναι : Οὐκ οἶδα ἀκριβῶς.)

986. (ἐπὶ τὰ βελτίω : Εἰς τὸ ἐλεῆσαι μᾶλλον ἢ καταδικάσαι.)

987. τηνδὶ λαβὼν τὴν ψῆφον : Τὴν τετρυπημένην αὐτῷ δείκνυσι ψῆφον. δύο γὰρ ἀμφορεῖς εἰσὶν, ὧν ὁ μὲν κύριος λεγόμενος χαλκοῦς, εἰς ὃν τὴν κυρίαν ψῆφον καθίεσαν οἱ δικασταὶ, ἢ καταδικάζοντες, ἢ ἀπολύοντες. ὁ δὲ ἕτερος ξύλινος, εἰς ὃν τὰς ἀκύρους καθίεσαν. ὁπότε δὲ πάντες διεψηφίσαντο, εἰς τὸν χαλκοῦν κάδον διηριθμοῦντο αἱ ψῆφοι, καὶ κατεδίκαζον μὲν αἱ τετρυπημέναι, ἀπέλυον δὲ αἱ πλήρεις. δεῖται οὖν αὐτοῦ, ἵνα τὴν τετρυπημένην εἰς τὸν ὕστερον τὸν ἄκυρον καθῇ καὶ ἀπολύσῃ τὸν ἀπολογούμενον. φαίνονται δὲ συνήθως καλοῦντες τὸν κύριον ἀμφορέα πρότερον, τὸν δ' ἕτερον ἄκυρον (ὕστερον. Ἄλλως. εἰς τὸν ὕστερον δὲ καδίσκον τὴν ἀποδοκιμάζουσαν ἐνέβαλον ψῆφον.)

988. (μύσας παρᾶξον : Ἐπειδὴ παρὰ τὴν προαίρεσιν αὐτοῦ ἀναπείθει αὐτὸν ῥῖψαι τὴν ψῆφον εἰς τὸν ἄκυρον κάδον, φησὶν αὐτῷ· μύσας τοῦτο ποίησον, ὡς ἀτόπου αὐτῷ τούτου φαινομένου.)

990. πρὸς τὴν ψῆφον. R.

991. ὅδ' ἔσθ' ὁ πρότερος : (Ὁ καδίσκος, ὅπου αἱ τῶν καταδικαζομένων ψῆφοι ἐβάλλοντο. Ἄλλως. ἐναλλάσσει τὰς χεῖρας, περιφέρων τὰς ὑδρίας, ἵνα ἀγνοήσας ἀποδοκιμάσῃ εἰς τὸν ὕστερον καδίσκον τὴν ἀποδοκιμάζουσαν ἐμβαλὼν ψῆφον. Ἄλλως.) μιμεῖται τοὺς ἐν τῷ δικαστηρίῳ πολλάκις ἀπατῶντας. (ἑστῶτος γὰρ τοῦ τε κατηγοροῦντος καὶ τοῦ ἀπολογουμένου, ῥάβδον κατέχει παρεστὼς ὁ κῆρυξ, ἢ θεσμοθέτης, καὶ τούτῳ ἐπιτίθησι τοὺς καταψηφισθέντας, ἵνα μὴ ἕτερος ἀνθ' ἑτέρου ἀπαχθῇ. Ἄλλως. βάλλων ὁ Φιλοκλέων τὴν ψῆφόν φησι· καθῆκα δὲ εἰς τὸν πρότερον.)

(αὕτη 'ντευθενί : Δύο καδίσκοι τῶν ψήφων ἦσαν, εἷς μὲν ὁ ἐλέου, ὁ ὀπίσω, ἕτερος δὲ, ὁ ἔμπροσθεν, θανάτου. παρασκευάζεται οὖν εἰς τὸν τοῦ ἐλέου ἐμβαλεῖν τὴν ψῆφον. ἀλλάσσει γὰρ τοὺς τόπους αὐτῶν ὁ Βδελυκλέων, ἵνα ἀπατηθεὶς ὁ πατὴρ βάλῃ εἰς τὸν τοῦ ἐλέου.)

993. (φέρ' ἐξεράσω : Ἀντὶ τοῦ εἰς τὴν γῆν μεταβαλῶ τὰς ψήφους. ἔρα γὰρ ἡ γῆ. βούλεται δὲ ἀριθμῆσαι τὰς ψήφους.)

994. (ἐκπέφευγας ὦ Λάβης : Ὡς ἀριθμηθεισῶν τῶν ψήφων καὶ τῶν ἀπολυουσῶν πλειόνων οὐσῶν.)

995. ποῦ 'σθ' ὕδωρ : Ὡς παρειμένου αὐτοῦ ψυχρὸν ὕδωρ αἰτεῖ. (ἀκούσας γὰρ τὸ ἐκπέφευγας ὁ Φιλοκλέων ἐλιποψύχησεν. ὅσον γὰρ ἐπ' αὐτῷ ἦν καταδικασθείς.)

997. (ὄντως ἀπέφυγεν : Ὑπεξελύθη, γενόμενος ἐκτὸς τιμωρίας τοῦ φεύγοντος.)

999. ξυνείσομαι : Συγγνῶ. *Vict.*

1001. (σύγγνωτέ μοι : Ὡς μέγα τι ἀτόπημα πράξας ἀπολογεῖται τοῖς θεοῖς.)

1005. (ἐπὶ δεῖπνον, εἰς ξυμπόσιον : Ἕν ἐστιν ἐπὶ δεῖπνον εἰς συμπόσιον. οὕτω γὰρ ἐκάλουν, ὥστε μόνον εἶναι τὸν οἶνον κοινὸν, τὰ δὲ λοιπὰ ἑαυτοῦ κομίζειν οὕτω κληθέντα. πανθοινίαν δὲ ἔλεγον, ὥς φησιν Εὐφρόνιος, ὁπότε εἰς κοινὸν κατατιθέντες τὰ κομισθέντα δεῖπνα πάντες ἀπέλαυον.)

1007. κοὐκ ἐγχανεῖται : (Οὐκ ἐγγελάσει σοι, φησὶν, ὁ Ὑπέρβολος, ὁρῶν σε ταπεινόν τε καὶ οἰκτρὸν ἐκ τοῦ δικάζειν καὶ τρεῖς ὀβολοὺς λαμβάνειν καὶ ἀεὶ πένεσθαι.) ὑπὲρ τῆς πονηρίας δὲ Ὑπερβόλου εἴρηται. (καὶ νῦν δὲ ὀλίγα παραγράφομεν. Ἀνδοκίδης φησὶ τοίνυν « περὶ Ὑπερβόλου λέγειν αἰσχύνομαι· οὗ ὁ μὲν πατὴρ

« ἐστιγμένος ἔτι καὶ νῦν ἐν τῷ ἀργυροκοπείῳ δουλεύει « τῷ δημοσίῳ, ὡς δὲ ξένος ὢν καὶ βάρβαρος λυχνο- « ποιεῖ. » Θεόπομπος δέ φησι καὶ τὸν νεκρὸν αὐτοῦ καταποντωθῆναι, γράφων ὅτι « ἐξωστράκισαν τὸν « Ὑπέρβολον ἓξ ἔτη· ὁ δὲ καταπλεύσας εἰς Σάμον καὶ « τὴν οἴκησιν αὐτοῦ ποιησάμενος, ἀπέθανε. καὶ τούτου « τὸν νεκρὸν εἰς ἀσκὸν ἀγαγόντες εἰς τὸ πέλαγος κα- « τεπόντωσαν. »)

1009. [ἀλλ' ἴτε χαίροντες : Τοῦτο κομμάτιον καλεῖται, ὅπερ ἐστὶ προκήρυγμα τῆς παραβάσεως. ἔστι δὲ κῶλον χοριαμβικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις καὶ βακχείοις καὶ παλιμβάκχοις ζ', ὧν τὸ πρῶτον τρίμετρον καταληκτικόν, τὸ δεύτερον δίμετρον ἀκατάληκτον, τὸν πρῶτον ἔχον πόδα πεντασύλλαβον· τὸ τέταρτον δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ β', τὸ ε' ὅμοιον τῷ πρώτῳ. τὰ δὲ λοιπὰ ὡς τὸ δεύτερον. ἐπὶ τῷ τέλει παράγραφος.]

1013. (μὴ πέσῃ φαύλως : Φυλάττεσθε, φησί, μὴ ἐκφαυλισθῆναι τὴν διδασκαλίαν τοῦ δράματος τούτου. καὶ πρὸ ἑνὸς γὰρ ἐνιαυτοῦ τὰς πρώτας Νεφέλας διδάξας ἀπεκρίθη. — μὴ εὐτελῶς ὀφθείη ἢ ματαίως ῥηθῇ. ὑπὲρ τοῦ ποιητοῦ δὲ ὁ χορός φησι. V.)

1015. (εἴπερ καθαρόν : Παρρησιαστικόν, εἰλικρινές, γνήσιον.)

1017. (πολλ' αὐτοὺς εὖ πεποιηκώς : Διὰ τὸ ἐν τοῖς δράμασιν αὐτοῦ ἐλέγχειν τὰς κλοπὰς ἑκάστου.)

1018. (τὰ μὲν οὐ φανερῶς : Οὐκ ἐκ τοῦ φανεροῦ, φησίν, ἐπικουρεῖ ὁ ποιητὴς τοῖς θεαταῖς ὑμῖν, ἀλλὰ δι' ἑτέρων ποιητῶν λάθρα, ἐπειδὴ διὰ Φιλωνίδου καὶ Καλλιστράτου καθίει τινὰ τῶν δραμάτων. πρῶτον γὰρ δρᾶμα δι' ἑαυτοῦ καθῆκε τοὺς Ἱππέας.)

1019. τὴν Εὐρυκλέους μαντείαν : Εὐρυκλῆς μάντις δι' ἑτέρων ἑαυτὸν ποιῶν καταδῆλον. φασὶν οὖν ὅτι ὥσπερ Εὐρυκλῆς οὕτως κἀγὼ ἐδίδουν ἑτέροις. R. (οὗτος ὡς ἐγγαστρίμυθος λέγεται Ἀθήνησι τἀληθῆ μαντευόμενος διὰ τοῦ ἐνυπάρχοντος αὐτῷ δαίμονος. τοιοῦτον οὖν, φησί, καὶ ὁ ποιητὴς τρόπον ἐποίησεν εἰς τὰ δράματα, ἑτέροις διακόνοις χρώμενος, ὡς εἰ εἶπεν ἔργον ποιήσας τῶν ἐχόντων ἀγαθὸν δαίμονα. ἐγγαστρῖται δὲ καὶ Εὐρυκλεῖδαι ἐκαλοῦντο ἐντεῦθεν πάντες οἱ μαντευόμενοι, ἀπὸ Εὐρυκλέους [πρῶτον] τοῦτο ποιήσαντος. τὸ δὲ, εἰς ἀλλοτρίας γαστέρας ἐνδύς, ἀντὶ τοῦ εἰπεῖν, ὅτι πρότερον ἄλλοις ἐδίδου τὰς κωμῳδίας.)

1021. (κινδυνεύων καθ' ἑαυτόν : Διὰ γὰρ τὸν κίνδυνον οὐδεὶς ὑπεκρίθη τοὺς Ἱππέας.)

1024. (οὐκ ἐκτελέσαι φησίν : Οἷον, οὐ τέλεον ἐπαρθῆναι, φησίν, ἠθέλησε καὶ οὐκ ἐπὶ τέλος ἔδοξεν αὐτῷ ἐλθεῖν οὔτε τῆς ποιήσεως οὔτε τῶν ἐπαίνων.)

(1025). οὐδὲ παλαίστρας : Οὐδὲ εἰ προσῆλθεν αὐτῷ τις ἐξώλης, ἀναστραφεὶς καὶ δεόμενος μὴ κωμῳδεῖσθαι ἐμαλάττετο οὐδὲ ἐπείθετο. Ἄλλως. δι' Εὔπολιν. ἐν Αὐτολύκῳ δὲ τοιαῦτά φησι. [τοῦτο δὲ καὶ ἐν Εἰρήνῃ (762) οὕτω·] περιήει τὰς παλαίστρας σεμνυνόμενος, καὶ τοῖς παισὶν ἑαυτὸν δῆλον ποιῶν τῆς νίκης ἕνεκα.

1026. (παιδικὰ ὀξυτόνως. ἔστι δὲ οὐδέτερον πληθυντικόν. τοῦτο δέ τινες ἐπ' ἀγαθοῦ ἔρωτος, τινὲς ἐπ' αἰσχροῦ λαμβάνουσι. τὸ δὲ παιδικὰ ἐρώμενον.)

1028. (ἵνα τὰς Μούσας : Τουτέστι τὰ δράματα. εἰ γὰρ μὴ καταδήλους ποιήσῃ τοὺς τοιούτους, ἀλλ' ἐπικρύψῃ, οἱονεὶ μαστροποὶ τῶν τοιούτων εὑρεθήσονται.)

1029. (ἀνθρώποις : Ἀλλὰ τέρασι, φησί, καὶ δαίμοσιν. ὀργὴν δὲ γενναῖον φρόνημα.)

1031. (τοῖς μεγίστοις ἐπιχειρῶν : Δηλοῖ ὅτι αἱ διδασκαλίαι ἴσως φέρουσι τοὺς Ἱππεῖς πρώτους ὑπ' αὐτοῦ καθιεμένους. περὶ Κλέωνος γὰρ αἰνίσσεται.)

1031. (ξυστάς : Ὡς ἐπὶ τῶν παλαιόντων.) — τῷ Κλέωνι λέγει. V.

1032. Κύννης : Κύννα πόρνη. [Eq. 765 :] « μετὰ Κύνναν καὶ Σαλαβακχώ. » Ἐρατοσθένην δὲ ἀγνοήσαντα τὴν Κύνναν ὅτι πόρνη, (οἱ μέν τινες προφέρεσθαί φασι κυνός, ὡς ἐπ' ἀναιδοῦς, οἱ δὲ πυρός· οὐκ εὖ. θέλων οὖν παραβαλεῖν τὸν Κλέωνα κυνὶ διὰ τὸ ἀναιδές, ἑτέρως ἐσχημάτισεν. ἑλιχμῶντο δὲ ἔλειχον.)

1034. (φωνὴν δ' εἶχε χαράδρας : Ἐπειδὴ πλέον τι τοῦ χειμάρρου εἰς τραχύτητα καὶ ἀνωμαλίαν εἶχεν. Φερεκράτης ἐν Ἐπιλήσμοσι « κἂν μὲν σιωπῶ, φέρεται, « πνίγεται, καὶ φησί, τί σιωπᾷς; ἂν δ' ἀποκριθῶ, οἴ- « μοι τάλας, φησί, χαράδρα κατελήλυθεν. »)

1035. (φώκης δ' ὀσμήν : Εἰς κακοσμίαν αὐτὸν διαβάλλει, διὰ τὸ βυρσοδέψην αὐτὸν εἶναι. Ὅμηρος [Od. Δ, 442]

φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή.

καὶ [406]

πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν.

Λαμίας ὄρχεις : Λάμια θηρίον, ἀπὸ τοῦ ἔχειν μέγαν λαιμόν, λαιμιά τις καὶ λάμια. δραστικοὶ δὲ οἱ ὄρχεις. εἰδωλοποιεῖ δέ τινας ὄρχεις Λαμίας. θῆλυ γάρ. Δοῦρις δ' ἐν β' Λιβυκῶν ἱστορεῖ γυναῖκα καλὴν γενέσθαι τὴν Λάμιαν, μιχθέντος δὲ αὐτῇ Διός, ὑφ' Ἥρας ζηλοτυπουμένην ἃ ἔτικτεν ἀπολλύναι. διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι, καὶ τὰ τῶν ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν.

πρωκτὸν δὲ καμήλου : Θερμόπρωκτος γὰρ ἡ κάμηλος καὶ λάγνος. κάμιλος δὲ τὸ παχὺ σχοινίον διὰ τοῦ ι.)

1036. δωροδοκηθῆναι ὑπὸ τοῦ Κλέωνος. V.

1037. ἀντὶ τοῦ Κλέωνος. οὐχ ἅμα δὲ ἐκωμῴδησεν ἐκεῖ λέγων ἐν ταῖς Νεφέλαις. ἠπιάλους δὲ τοὺς φιλοσόφους φησίν. ἠπίαλοι δέ εἰσιν οἱ ῥιγοπύρετοι. V.

1038. (τοῖς ἠπιάλοις : Ἠπίαλος τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης Νεφέλαις καὶ Θεσμοφοριαζούσαις [fr. 315] « ἅμα δ' ἠπίαλος πυρετοῦ πρόδρομος. » Δίδυμος δέ φησι, δαίμων, ὃν Ἠπιάλην καὶ Τῖφυν καὶ Εὐόπαν καλοῦσι. τὸ δὲ πυρετοῖσιν ἐπήνεγκεν ἀπὸ τοῦ πάθους. Ἄλλως. τοὺς βλάπτοντας τὴν πόλιν λέγει ἠπιάλους καὶ πυρετούς. ταῦτα δὲ εἴδη πυρετῶν. ὥσπερ οὖν οὗτοι βλάπτουσι τὰ σώματα, οὕτω καὶ οὗτοι τὴν πόλιν.)

(πέρυσιν : Πέρυσι γὰρ τὰς Νεφέλας ἐδίδαξεν, ἐν αἷς τοὺς περὶ Σωκράτην ἐκωμῴδησεν. ἠπιάλους δὲ αὐτοὺς ὠνόμασεν, ὡς ὠχρότητα παρασκώπτων. ἐν δὲ τοῖς Ἱππεῦσι τὸν Κλέωνα, οὓς πρὸ τῶν Νεφελῶν καθῆκε. τὸ δὲ τοὺς πατέρας ἦγχον λέγει διὰ τὸν ἥττονα λόγον, τὸν πατραλοίαν. ἢ διὰ τὸν ὑπ' αὐτοῦ, ὥς φησι, πέρυσιν εἰσαχθέντα ἐν Νεφέλαις τύπτοντα τὸν πατέρα αὐτοῦ.) — τοῦτο πρὸς τὸν ὑπ' αὐτῶν ἥττονα λόγον, ᾧ πατραλοίας χρώμενος εἰσάγεται ἐν Νεφέλαις. V.

1039. ὅτι νύκτωρ ἐσκέπτοντο. V.

1041. προκλήσεις : [Παρὰ τὸ προκαλεῖσθαι, ὅπερ ἐστὶν εἰς συμβάσεις καὶ συνθήκας καὶ διαλλαγὰς παρακαλεῖν.] ἐπὶ τῷ προκαλεῖσθαι εἰς δίκας. R.

1042. (ὡς τὸν πολέμαρχον : Ὄνομα ἀρχῆς. οὐ τοῖς πολίταις τοῦτο προσῆψεν, ἀλλὰ τοῖς ξένοις. αἱ γὰρ ξενικαὶ δίκαι ἐπὶ τοῦ πολεμάρχου εἰσήγοντο. οἱ δὲ καὶ βοηθείας δεόμενοι ἐπὶ τὴν ἀρχὴν κατέφευγον τοῦ πολεμάρχου. ἀλλὰ καὶ οἱ κατηγοροῦντες γονέων κακώσεως πρὸς τὸν πολέμαρχον ἐδικάζοντο, κἀκεῖνος ἔκρινεν. Ἄλλως. πολέμαρχος, ἄρχων, πρὸς ὃν κατηγγυῶντο τοὺς ξένους.)

1044. (πέρυσι καταπρούδοτε : Ὅτι πέρυσι διδάξας τὰς πρώτας Νεφέλας ἡττήθη. περιττὴ δὲ ἡ κατά.)

1045. (ἃς ὑπὸ τοῦ μή : Τὰς καινὰς διανοίας ἀγνοήσαντες, ὑπὸ τοῦ μὴ νοεῖν, παρεκρίνατε. ἀναλδεῖς δὲ ταπεινάς, ἀσθενεῖς.) — ἀφανεῖς, ξηράς. R.

(1050). εἴπερ ἐλαύνων τοὺς ἀντιπάλους : Ἀντὶ τοῦ ἐπιχειρῶν καὶ ἐπιτρέχων. τὸ δὲ συνέτριψεν ἀπὸ τῶν ἐρετῶν ἐπήγαγε, τῶν ὑπὸ ῥύμης συντριβόντων τὰς κώπας. [νικήσας, φησί, τοὺς ἀντιπάλους, τὴν ἐλπίδα τῆς νίκης ἀπώλεσε, τοῦτο γὰρ ἐπίνοιαν λέγει, παρακριθεὶς ὑπὸ τῶν κακῶς κρινάντων.] ὃ δὲ βούλεται εἰπεῖν, ὅτι οὐ χεῖρον ἐπαινεθήσεται παρὰ τοῖς σοφοῖς τοὺς ἀνταγωνιζομένους αὐτῷ νικῶν. ἔνιοι δέ φασιν ὡς ἀπὸ τῶν ἀτυχῶς ἡνιοχούντων καὶ συντριβόντων τὰ ἅρματα τὴν μεταφορὰν ἐδέξατο, ἐπειδὴ πρὸς τὸ παρελαύνων ἐπήνεγκε τὸ ξυνέτριψε. τὰ νοήματα δὲ τὰ ἐπινοήματα τῶν δραμάτων.

1051. πνῖγος τὸ καὶ μακρόν. V.

1053. κἀξευρίσκειν : καινὰς ἐπινοίας καὶ ὑποθέσεις. V. *Vict.*

1057. (μετὰ μήλων : Εἰώθασι γὰρ μῆλα εἰς τὰς κιβωτοὺς βάλλειν ὡς χάριν εὐοσμίας.) — Ἀττικὸν τὸ σχῆμα ἀντὶ τοῦ ἱμάτια. V.

1059. (δεξιότητος : Δεξιοὶ δόξετε εἶναι. ἀντὶ τοῦ εἰπεῖν δέ, ὀσμῆς, δεξιότητος εἶπεν, ὡς πρὸς τὸ πρᾶγμα.)

1060. ὦ πάλαι ποτ' : (Ὁ χορὸς πρὸς ἑαυτόν,) παρὰ τὸ

πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

1062. ἐν τούτῳ τῷ πολεμεῖν. V.

1063. (πρὶν ταῦτα : Τὰ πρὶν κατορθώματα ἀπώλετο. Δίδυμός φησιν ὡς παρῴδησε ταῦτα ἐκ τῶν τοῦ Τιμοκρέοντος τοῦ Ῥοδίου.)

1065. (αἵδ' ἐπανθοῦσι τρίχες : Ἡ τότε αὐτοὺς δείξουσιν οὗτοι τοὺς κροτάφους. οἱ δὲ διαιροῦσιν ἀπ' ἄλλης ἀρχῆς τοῦτο, οἵδ' ἐπανθοῦσι τρίχας, ἵν' ᾖ περὶ τῶν νεωτέρων ὁ λόγος. καὶ γὰρ τὰ ἑξῆς περὶ αὐτῶν φησι.)

1066. ἐκ τοῦ ὑπολοίπου τοῦ γήρους. V.

1068. (γῆρας εἶναι κρεῖττον : Διαβάλλει τοὺς νέους ὁ ποιητὴς μὴ δυναμένους κατὰ τοὺς ἀρχαίους κωμῳδεῖν. κικίννους δὲ ἔλεγον τὰς περιεστεμμένας καὶ τετημελημένας τρίχας. σχῆμα δὲ τὴν σκευὴν καὶ τὸν κόσμον.)

1071. (εἴτις ὑμῶν ὦ θεαταί : Τοῦτό ἐστιν ἐπίρρημα. τὸ δὲ ἐπίρρημα ὡς ἐπίπαν ὀκτωκαίδεκα στίχων ἢ ιδ' ἢ ιϛ'. ἐνθάδε δὲ εἴκοσι.)

1072. διεσφηκωμένον : Εἰς σφῆκας διεσκευασμένον. ταῦτα δὲ πρὸς τὴν σκευήν, ἣν περιέθετο ὁ χορός, τὴν τῶν σφηκῶν ποικιλίαν μιμούμενος, περὶ τοῦ σχήματος ἀπολογούμενός φησιν. Ἄλλως. διαδεδεμένον. (κρεῖττον δὲ μέσον σφήκωμα φαινόμενον. ἔχουσι γὰρ κεντρίδας, ὡς εἰς σφῆκας σχηματιζόμενοι.)

1073. τοῦ κέντρου. V.

1074. (ῥᾳδίως ἐγὼ διδάξω : Ὁ στίχος Εὐριπίδου ἐκ Σθενεβοίας. τὸ δὲ ᾗ [v. 1091] ἀντὶ τοῦ ἦν Ἀττικόν, ὡς τὸ « ᾗ παρεσκευασμένος » ἐν Πλούτῳ [77]. τοὐρροπύγιον δὲ τὸ ἐγκεκεντρωμένον λέγει.)

1078. (ὁ βάρβαρος : Τὴν ἐν Μαραθῶνι κατὰ τοῦ Δαρείου νίκην λέγει.) — συνεχῶς εἰσάγονται τῶν Μηδικῶν μεμνημένοι, ὥστε τὰ γενόμενα παίδων ὄντων ἑαυτοῖς ἀνατιθέναι ἐπὶ τῷ τοὺς νέους καταπλήττεσθαι. V.

1080. τἀνθρήνια : Νῦν τὰ τῶν σφηκῶν κηρία. (κυρίως δὲ τὰ τῶν ἀνθρηνῶν σμήνη.) ἀνθρήνας δὲ οἱ μὲν τὰς μελίσσας, οἱ δὲ ἕτερον ζῷον κηροποιὸν παραπλήσιον σφηκί. (Ἄλλως. οἱ τόποι ὅπου κατοικοῦσιν οἱ σφῆκες. δέον δὲ ἦν εἰπεῖν τὰς οἰκίας.) — μενοινῶν : Φροντίζων, μεριμνῶν, προθυμῶν. *Vict.*

1081. τὸ τοῦ Ἀχαιοῦ ἀπὸ Μώμου δράματος. V.

1082. (θυμὸν ὀξίνην : Ἀντὶ τοῦ δριμεῖαν ὀργήν.)

1083. τὴν χελύνην ἐσθίων : Ἀντὶ τοῦ τὰ χείλη. οἱ γὰρ ὀργιζόμενοι ἐνδάκνουσι τὰ χείλη.

(1084). ὑπὸ δὲ τῶν τοξευμάτων : Τῶν πεμπομένων ὑπὸ τῶν βαρβάρων. τῷ γοῦν ἀπαγγείλαντι, [ὡς ὑπὸ τῶν τοξευμάτων τῶν βαρβάρων οὐκ ἦν ἰδεῖν τὸν οὐρανόν,] Λεωνίδας ὁ τῶν Λακεδαιμονίων στρατηγὸς εἶπεν· ἀγαθὰ ἀγγέλλεις, ὦ ξένε, εἰ ὑπὸ σκιὰν μαχούμεθα.

1086. γλαῦξ : Τὸ γλαῦξ ὄνομα, φησὶν Εὐφρόνιος, οἱ Ἀττικοὶ μὲν περισπῶσιν, οἱ δὲ Δωριεῖς ὀξύνουσιν. γλαῦκα δὲ τὴν Ἀθηνᾶν καλεῖ. (Ἄλλως. φασὶ κατὰ τὸ ἀληθὲς γλαῦκα διαπτᾶσθαι τὴν νίκην τοῖς Ἀθηναίοις ἀπαγγέλλουσαν.)

1087. θυννάζοντες : Κεντοῦντες (ὡς τοὺς θύννους τοῖς τριόδουσι, μεταφορικῶς).

θυλάκους : Θυλάκους φασὶν εἶναι τὰ περὶ τοῖς σκέλεσι καὶ τοῖς μηροῖς Περσικά. (εἴδη βρακίων παρὰ Πέρσαις. θυννάζοντες εἰς τοὺς θυλάκους, ἀντὶ τοῦ εἰσπηδῶντες εἰς τὰς ἀναξυρίδας.)

1088. (κεντούμενοί : Τοῦτο πρὸς τὴν ὁμοιότητα τῶν σφηκῶν.)

1091. (ἄρα δεινός : Ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ. καὶ αὕτη γὰρ κώλων ἐστὶ καὶ στίχων ια´, καὶ τὰ μὲν τροχαϊκὰ, τὰ δ' ἔχει ἰαμβικὰ, πλὴν ἐν τῷ ζ´ κώλῳ τὸν τρίτον ἔχει πόδα χορεῖον. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ. τὸ δὲ ἦ κἀνταῦθα ἀπὸ τοῦ ἔα κατὰ κρᾶσιν ἢ ἀντὶ τοῦ ὑπῆρχον ἐγώ.)

1094. (οὐ γὰρ ἦν ἡμῖν : Τὸ φροντὶς ἐνταῦθα συνάπτεται.)

1095. (ῥῆσιν εὖ λέξειν : Ὡς οἱ νῦν ἀσκοῦσι μόνον τὸ εὖ λέγειν, οὐ τὰ πολεμικά.)

1098. (πολλὰς πόλεις : Ἴσως ὑπὸ Μήδους γενομένας Ἀθηναίων.)

1101. ⟦πολλαχοῦ : Τὸ ἀντεπίρρημα ὅμοιόν ἐστι τῷ ἐπιρρήματι, καὶ τοῦτο ἐκ τῶν εἰωθότων στίχων τροχαϊκῶν, ὑφ' ὃ διπλῆ ἔξω νενευκυῖα.⟧

1108. οἱ δὲ παρὰ τοὺς ἕνδεκα : (Ἐτήρουν οἵδε τοὺς δεδεμένους. οὗτοι δὲ νῦν θεσμοφύλακες καλοῦνται. Ἄλλως.) ἡ τῶν ἕνδεκα ἀρχὴ τοὺς μὲν ὁμολογοῦντας καὶ ἀνδραποδιστὰς καὶ λωποδύτας θανάτῳ ἐκόλαζον, τοὺς δὲ ἀρνουμένους εἰς δικαστήριον εἰσῆγον. (εἰσῆγον δὲ καὶ τὰς ἐνδείξεις.) ἔνδειξις δέ ἐστι δίκη, ὥς φησιν ὁ Παλαμήδης, κατὰ τῶν τὰ δημόσια πωλούντων.

1109. (οἱ δ' ἐν ᾠδείῳ : Ἔστι τόπος θεατροειδὴς, ἐν ᾧ εἰώθασι τὰ ποιήματα ἀπαγγέλλειν, πρὶν τῆς εἰς τὸ θέατρον ἀπαγγελίας. τοῦτο δέ φησι δεικνὺς ὅτι εἰς πάντα τόπον εὑρήσει τις δικαστὰς ἐν τῇ Ἀττικῇ. Ἄλλως. τοῦτο οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς τὸ πλῆθος τῶν δικῶν. τάχα δὲ καὶ τὰς διαίτας δηλοῖ.)

1110. (συμβεβυσμένοι : Πυκνώσαντες ἑαυτοὺς καὶ κάμψαντες διὰ τὸ γῆρας. Ἄλλως. τὸ πυκνὸν πρὸς τὸ ξυμβεβυσμένοι. παίοντες δὲ μόλις τῇ βακτηρίᾳ, ὡς ἂν γέροντες. ἢ ὑπὸ τοῦ συμπεπυκνῶσθαι. ἐδίδοντο δὲ καὶ βακτηρίαι τοῖς δικασταῖς ὁμόχροοι τοῖς δικαστηρίοις, ὅπου ἑκάστους εἰσελθόντας δικάζειν ἔδει, ἵνα τὸν διαμαρτάνοντα ἀπελέγξῃ τὸ χρῶμα.)

1111. (ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις : Τουτέστιν ἠρέμα, ὡς οἱ σκώληκες, διὰ τὸ γῆρας. κύτταροι δὲ αἱ τῶν κηρίων κοιλότητες. ἔστι δὲ ἡ πυελὶς ἡ περικειμένη ταῖς βαλάνοις. Ἄλλως. καὶ τῶν σφηκῶν τὰ κοῖλα καὶ τὰ τῆς πεύκης καὶ τὰ τῆς πίτυος προανθοῦντα στροβίλια, καὶ ὁ πυθμὴν, καὶ ἡ κατάτρησις. οἱ δὲ καὶ τὰ ἐν τοῖς κηροῖς τρήματα, ἢ τὰ κοῖλα ἄγγη, καὶ τῶν αἰδοίων τοὺς βαλάνους.)

1114. (ἀλλὰ γὰρ κηφῆνες : Τοὺς ἐπὶ τοῦ βήματος λέγει ῥήτορας. κηφῆνες δέ εἰσιν οἱ ἄρσενες τῶν μελισσῶν, οἵτινες οὔτε κέντρα ἔχουσιν, οὔτε κηρία ἐργάζονται, ἀλλὰ τὰ τῶν μελισσῶν ἔργα ἐσθίουσιν. Ἡσίοδος [Op. 302]

> κηφήνεσσι κοθούροις ἴκελος ὁρμήν,
> οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
> ἔσθοντες.)

1116. ὡσανεὶ ἔφη τὸν γόνον τῶν μελισσῶν. R.

1119. (φλύκταιναν : Φύσκαν ἐν τῇ χειρὶ ἐκ τοῦ κωπηλατεῖν.)

1120. ἔμβραχυ : Καθάπαξ, ἢ παντάπασι τὸ ἔμβραχυ, Ἀττικὴ συνήθεια, (οὐδὲν πλέον δηλοῦσα ἢ τὸ βραχὺ, ὡς ἐμφαγεῖν τὸ φαγεῖν. καὶ παρ' Εὐριπίδῃ [Phœn. 739] τὸ ἐνδυστυχῆσαι ἀντὶ τοῦ δυστυχῆσαι).

1122. οὗτοι ποτὲ ζῶν : (Καυνάκην ἀμφιάσαι βούλεται τὸν πατέρα ὁ υἱός, ἀφελόμενος τὸ τριβώνιον.) φησὶν οὖν ὅτι τὸν τρίβωνα οὐκ ἀφαιρῶ (ἐμαυτοῦ. τὸν γὰρ τρίβωνα περισπάσας θέλει αὐτὸν καυνάκην ἐνδῦσαι. καυνάκης δὲ χλαῖνα Περσικὴ ἀλεεινὴ, παρὰ τὸ ἀλεαίνεσθαι. ὁ δὲ Παλαμήδης φησίν· καυνάκης ἐστὶ Περσικὸν ἱμάτιον, ἔχον ἐκ τοῦ ἑτέρου μέρους μαλλούς.) ⟦Ἄλλως. καυνάκης εἶδος ἱματίου, ὅπερ καὶ περσίδα καλοῦσιν. οἱ δὲ σισύραν Θυμαιτίδα, ὅπερ ἔοικε Μορύχου σάγματι. σάγμα δὲ ἡ θήκη τοῦ ὅπλου, ὡς ἐν τοῖς ἑξῆς. ἐπεστρατεύσατο δὲ, σφοδρῶς ἐπῆλθε τοῖς ἡμετέροις μαχεσόμενος σώμασι.⟧ μήποτε τὸν πνεύσαντά φησι βορέαν ἐπὶ τῷ Ἀρτεμισίῳ καὶ διαφθείραντα τὸν τῶν βαρβάρων στόλον. καλῶς δὲ ἐπεστρατεύσατο. πολὺς γὰρ ἐπελθὼν κατέδυσεν αὐτῶν τὰ σκάφη, (βοηθῶν Ἀθηναίοις).

1126. οὐδαμῶς μοι ξύμφορον : Οὐ λυσιτελεῖ μοι, φησὶ, πολυτελῆ ἀμφιέννυσθαι. (καὶ γὰρ πρώην ἰχθύδια ἐσθίων ὀπτὰ, καταστάξαντος ζωμοῦ ἐπὶ τὸ ἱμάτιον, τριώβολον ἔδωκα τῷ γναφεῖ μισθὸν, τουτέστι τῷ πλύνοντι τὰ ἱμάτια.)

1128. ἐπὶ τὸ ἱμάτιον. R.

1132. (τριβωνικῶς : Ἐὰν μὲν τριβωνικῶς, ὥσπερ τριβώνιον τετριμμένῳ καὶ ἀσθενήσαντι. ἐὰν δὲ γεροντικῶς,) ὡς πρέπει γέροντι.

1133. (φυτεύειν : Γεννᾶν.)

1134. ἀποπνῖξαι : (Διὰ τὸ καῦμα τὸ ἀπὸ τῆς καυνάκης.) — ὑπὸ κρύους δηλονότι παρὰ τὴν ὑπόνοιαν. καινὸν δὲ λαμβάνει ἱμάτιον. R.

1136. (τουτὶ τὸ κακόν : Τὸ καινὸν παρ' ὑπόνοιαν. ἐπεὶ καινὸν παραλαμβάνει ἱμάτιον.)

1137. (οἱ δὲ καυνάκην : Ἔοικε τὸ βαρβαρικὸν εἶναι φόρημα.)

1138. ἐγὼ δὲ σισύραν : Ἀπὸ δήμου. φαίνεται καὶ ἡ σισύρα βαπτή. R. (σισύραν εἶπε οὐ τὸ μαλλωτὸν στρῶμα, ἀλλὰ βαίταν. ἔστι δὲ ἡ ἀπὸ δερμάτων συρραπτομένη χλανίς. Θυμαιτίδα δὲ εἶπεν ἀπὸ δήμου τῆς Ἱπποθοωντίδος φυλῆς, ὡς ἐκεῖ τῶν βαιτῶν γινομένων, ἀπὸ Θυμοίτου ἥρωος. μήποτε δὲ γραπτέον Θυμοιτίδα.)

1139. (εἰς Σάρδεις : Εἰς Σάρδεις γὰρ ἐπωλεῖτο τὰ Περσικὰ ἱμάτια. Σάρδεις δὲ πόλις Λυδίας ὑπὸ Πέρσαις, ἀναγκαίως οὖν Περσικὰ ἐφόρουν.)

1141. (οὐ τοίνυν γ', ἀτάρ : Οὐκ ἦλθον εἰς Σάρδεις.)

1142. (Μορύχου σάγματι : Μόρυχος ὠχρός. σάγματι δὲ τῷ μαλλωτῷ σάγῳ, ᾧ ἐχρῆτο ὡς τρυφερὸς πλείονι θάλπει χρώμενος. Ἄλλως. τῶν περὶ τρυφὴν ἐσπουδακότων ὁ Μόρυχος. σάγματι δὲ, ἐπεὶ παχέα. ἴσως ὡς ἐκείνου παχεῖ σάγματι χρωμένου. Ἐκβάτανα δὲ πόλις

Περσῶν. κρόκη δὲ ῥοδάνη καὶ κροκύφαντος, ὅτι διὰ κρόκης ὑφαίνεται.)

1144. (χόλιξ : Χόλιξ λέγεται τὸ τοῦ βοὸς ἔντερον μαλλωτὸν, ὅ ἐστιν ὁ ἐκ κρόκης μαλλός. Ἄλλως. τὰς ἐξοχὰς τῶν κρόκων εἰκάζει χόλικι. τοῦτο δὲ Ἀρτεμίδωρος λέγει, τὰς ἐπὶ τῆς κοιλίας λεγομένας χολάδας. Εὐφρόνιος δὲ οὐ τὰ ἔντερα καθ' αὑτὸ, ἀλλὰ πᾶν σὺν τῷ λίπει καὶ τοῖς ὑμέσιν.)

1148. ἐριώλην : Ἐρίων ἀπώλειαν, (παρὰ τὸ τὰ ἔρια ἀναλῶσαι).

1151. (κατήρυγε : Κατέπνευσεν, ὡς ἐπὶ τῶν μετὰ τροφὴν ἐρευγομένων.)

1156. (διερρυηκέναι : Πρὶν συμπεσεῖν ἀπὸ τῆς ὀπτήσεως τὰ κρέα μου. ἐμβάδας τὰ δικαστικὰ ὑποδήματα.)

1158. τὰς Λακωνικάς : ἀστειότεραι γὰρ αὗται. R. (ἀνδρεῖα ὑποδήματα. ἢ ἀστειότερα· ὡς αὐτὸς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις [142]

ποῦ τὸ πέος; ποῦ χλαῖνα; ποῦ Λακωνικαί;

ὁ δὲ Φιλοκλέων ἀποσείεται αὐτὰς, ὡς ἐχθρῶν Ἀθηναίοις τῶν Λακεδαιμονίων. καττύματα δὲ δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ ἄλλοις ὑποδήμασιν ὑποβάλλεται.)

1161. (ἔνθες : Ἔνθες τὸν πόδα σου εἰς τὴν Λακωνικὴν ἀνύσας, καὶ περιπάτει ἐρρωμένως. ἔνθες ἀντὶ τοῦ ὑπόδυσαι. ἅμα μὲν πρὸς τὸ ὑπόδημα, ἅμα δὲ πρὸς τὴν χώραν.)

1163. εἰς τὴν πολεμίαν : ἅμα μὲν πρὸς τὸ ὑπόδημα, ἅμα δὲ πρὸς τὴν χώραν. R. (ὁ μὲν εἶπε τὴν Λακωνικὴν ἐμβάδα, ὁ δὲ ὑπενόησε λέγειν αὐτὸν τὴν χώραν.)

1167. (χίμετλον : Ὅτι κυρίως νῦν τὸ ἀπὸ τοῦ ψύχους ἐπὶ τῶν δακτύλων τραῦμα. λέγεται δὲ καὶ μέρος τι τοῦ ποδὸς, περὶ ὃ τὸ πάθος. καὶ ὅτι χίμετλον οὐ λέγουσιν ἑνικῶς, πληθυντικῶς δὲ χίμετλα. παρ' ὑπόνοιαν δὲ ἀντὶ τοῦ εἰπεῖν ἀγαθὸν οὐδὲν λήψομαι. ὅστις τὰ τῶν γερόντων οὐ λήψομαι.)

1169. διασαλακώνισον : (Ἁβρύνθητι καὶ διαθρύφθητι.) οἱ δὲ λυκώνισον ἀπὸ Λύκωνος μαλακοῦ, τοῦ Αὐτολύκου πατρός. (Ἄλλως. ἔοικεν ἐμφαίνεσθαι τῷ ὀνόματι τὸ σαλακωνεύεσθαι, τουτέστι τὸ σαλεύειν τὸν πρωκτόν. ἔν τισι μὲν διαλυκώνισον. ἐν δὲ τῇ Ἀρτεμιδώρου συναγωγῇ διαλακώνισον. αἰτία δὲ τοῦ λεξειδίου ἡ συνήθεια. μήποτε γὰρ καὶ πεποίηται ὑπ' αὐτοῦ. εἰ δὲ μὴ ἀπεσχεδίασται τὸ διαλυκώνισον, τάχα ἂν λέγοιτο ἀπὸ Λύκου πεντάθλου. φαίνεται γάρ τις καὶ μαλακώτερος γενέσθαι. Ἀμειψίας « εἰ μὴ θανοῦσιν ἐστί τις τιμὴ καταβῶμεν. » οἱ μὲν τὸν πένταθλον αὐτὸν Λύκωνα. ὁμοίως δ' ἐστὶ καὶ παρ' Ἑρμίππῳ ἐν τοῖς Τετραμέτροις « ὕστερον δ' αὐτὸν « στρατηγὸν, οὓς ἀνειλωτημένην | καὶ κασαλβάζουσαν « εἶδον καὶ σεσαλακωνισμένην. » Ἄλλως. ἁβρῶς καὶ μαλθακῶς σαυτὸν διακίνησον. ἀπό τινος Σαλάκωνος τρυφηλοῦ. τινὲς δὲ σαλακωνίσαι φασὶ τὸν πρωκτὸν αἰσχρῶς κινῆσαι. σαῦλον δὲ καλεῖται τὸ φαῦλον καὶ διερρυηκός.)

1172. ὅτῳ δοθιῆνι : Ἀπροσλόγως παίζει. (καὶ τοῦτο τῷ διασαλακωνίσαι ὅμοιον. ἢ πρὸς τὸν πατέρα ἀμόρφως ἠμφιεσμένον τὴν καυνάκην καὶ ἀναρμόστως, ὡς καὶ τὸ σκόροδον τῷ δοθιῆνι ἀνάρμοστον ὡς εἰς θεραπείαν. δοθιὴν δὲ φῦμα φλυκταίνῃ ἐοικός.)

1173. σαυλοπρωκτιᾶν : Σαλεύειν τὸν πρωκτόν. σαῦλον δὲ τὸ κοῦφον.

1177. πρῶτον μὲν, ὡς ἡ Λάμια : Ὅτι οὐκ οὖσαν τὴν Λάμιαν ὑποτίθεται. (διὸ τὸ χ.) τοῦτο δὲ ἐν μύθῳ λέγεται.

1178. (Καρδοπίων : Καὶ τοῦτο ἀρχὴ μύθου. Δίδυμος· ὁ Καρδοπίων ζητητέος. οὐδαμοῦ κωμῳδεῖται. ἀλλ' Ἀγκυλίων, ἐπὶ τῷ τὴν μητέρα διατιθέναι. λείπει δὲ ἔτυψεν.) — ὡς ὁ Καρδοπίων τὴν μητέρα : Λείπει ἐτύπτησεν. *Vict.*

1182. μῦς καὶ γαλῆ : (Πρὸς τὴν συνήθειαν, ὅτι τὸν μῦθον προέταττον οὕτως, οἷον, ἦν οὕτω γέρων καὶ γραῦς. καὶ Πλάτων ἐν Φαίδρῳ [p. 237, B] « ἦν οὕτω δὴ παῖς, « μᾶλλον δὲ μειρακίσκος· τούτῳ δ' ἦσαν ἐρασταὶ πάνυ « πολλοί. » Ἄλλως.) ἀρχὴ μύθου μῦς καὶ γαλῆ. (τοῦτο δὲ πρὸς τὸ κατ' οἰκίαν εἰρημένον τῷ Βδελυκλέωνι, οἰόμενος περὶ μυθαρίων αὐτὸν λέγειν.)

1183. Θεογένης : (Ὁ Θεογένης οὗτός ἐστιν) ὁ Ἀχαρνεὺς, ὃν καὶ ἐπὶ τῷ μεγάλα ἀποπατεῖν κωμῳδοῦσιν. — δῆλον δὲ ἐν ταῖς Ὥραις. V.

1184. τῷ κοπρολόγῳ : Μεγαλοφυὴς γὰρ ὢν καὶ ἀλαζὼν παρῃτεῖτο ὡς μικρὰ ταῦτα ἀκοῦσαι.

1187. (ὡς ξυνεθεώρεις : Ἐμφαίνει μὲν ὡς περὶ γενναίων τινῶν καὶ λαμπρῶν. Ἀνδροκλέα δὲ Κρατῖνος Σεριφίοις φησὶ δοῦλον καὶ πτωχὸν, ἐν δὲ Ὥραις ἡταιρηκότα Ἀριστοφάνης τὸν αὐτόν· Τηλεκλείδης δὲ ἐν Ἡσιόδοις καὶ Ἐκφαντίδης βαλλαντιοτόμον. ὁ δὲ Κλεισθένης ἐπὶ μαλακίᾳ γνωριμώτατος, ἕτερος δὲ γενναῖος ἢ λαμπρὸς Κλεισθένης οὐ πάνυ. Ἄλλως. δέον αὐτὸν εἰπεῖν ἐπίσημα ὀνόματα, τούτους εἶπεν, ἵνα αὐτοὺς διαβάλλῃ.)

1189. πλὴν ἐς Πάρον : Ἔπαιξεν ἀντὶ τοῦ ὅτε εἰς Πάρον ἐστρατευσάμην. R. (ἀντὶ τοῦ μισθωτὸς ὢν στρατιώτης. τὸ δὲ Πάριον τοῦ Πόντου πόλις. καὶ παροιμία

ἐν Παρίῳ ψυχρὸν μὲν ὕδωρ, καλαὶ δὲ γυναῖκες.)

(δύ' ὀβολὼ φέρων : Ἀντὶ τοῦ μισθοφορῶν τοσούτου. Πάρον δὲ οἱ μὲν τόπον, οἱ δὲ κατὰ παιδιὰν εἰρῆσθαι κωμικὴν τὴν Πάρον. ἰκρίοις δὲ θεωροῦντες τοὺς δύο ὀβολοὺς παρεῖχον τοῖς ἀρχιτέκτοσιν.)

1191. Ἀσκώνδᾳ καλῶς : (Τὸ χ',) ὅτι περὶ τοῦ Ἐφουδίωνος [ὡς] ἀληθῶς ἱστορεῖ. (Ἄλλως. ὅτι κατεψευσμένοι φαίνονται οὗτοι παγκρατιασταὶ ἐπὶ παιδιᾷ. ὁ δὲ Ἀσκώνδας καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος. εἰ μὴ ἄρα ὁ Ἐφουδίων ἐστὶν ὁ ἐν ταῖς Ὀλυμπιάσι φερόμενος Ἐφουδίων Μαινάλιος οθ'.)

1195. θώραχ' ἔχων : Τὸν πολεμικὸν ὑπενόησε [χιτῶνα, τοῦ Βδελυκλέωνος τὸ στῆθος εἰπόντος. θώραξ γὰρ καὶ τὸ στῆθος δηλοῖ, παρὰ τὸ τὸ θεῖον ὠρεῖν, του-

τέστι φυλάττειν τὸ διανοητικὸν, ὅ ἐστιν ἐν ἡμῖν θεῖον. ὅθεν καὶ τὸ θωρήξασθαι, ὡς ἐν Ἀχαρνεῦσιν [1132] εἴρηται, οὐ μόνον τὸ καθοπλισθῆναι, ἀλλὰ καὶ τὸ μεθυσθῆναι σημαίνει, διὰ τὸ θερμαίνειν τὸ στῆθος. καὶ ἀκροθώρηκας τοὺς ἀκρομεθύσους ἐκάλουν. φησὶν οὖν, πῶς ἂν μαχέσαιτο παγκράτιον καθωπλισμένος; ἐπειδὴ νόμος ἦν τοὺς γυμναστὰς γυμνοὺς εἰς τὸν ἀγῶνα εἰσέρχεσθαι.]

1197. (παρ' ἀνδράσι ξένοις : Ἔθος γὰρ ἐπὶ τοῖς ξένοις καυχᾶσθαι.)

1198. (σεαυτοῦ : Ὁ αὐτὸς σεαυτῷ περιεποιήσω.)

1201. Ἐργασίωνος : Γεωργοῦ. θηλυκῶς δὲ ἐπὶ τῶν ἀμπέλων (ἡ χάραξ, ἀρσενικῶς δὲ ἐπὶ τῶν πρὸς πολιορκίαν. χάραξ δέ ἐστι τὸ λεπτὸν ξύλον, ᾧ προσδεσμοῦσι τὴν ἄμπελον, ἵνα μὴ ὑπὸ τῶν ἀνέμων συντριβῇ.)

1203. λαμπάδα ἔδραμες : (Εἰ οἶδας σεαυτὸν λαμπαδοδρομήσαντα.) ὅτι γὰρ καὶ ἠγωνίζοντο δρόμῳ λαμπάδας ἔχοντες ἐν τῷ Κεραμεικῷ φανερόν.

1206. (Φάϋλλον : Εἴρηται περὶ Φαΰλλου ἐν τοῖς Ἀχαρνεῦσιν [213]. ὁ βούπαις δὲ ἡλικίας ὄνομα, ὁ νέος ἔφηλιξ.)

1207. (εἷλον διώκων : Ἀντὶ τοῦ εἰπεῖν ὅτι ἐνίκησα δρόμῳ, πάλιν περὶ δίκης φησί. δρομεὺς δὲ ἄριστος ὁ Φάϋλλος. ξυνουσιαστικὸς δὲ κοινωνικός.)

1211. ὡδὶ κελεύεις : Νεανικῶς. φαίνεται ὅτι πρὸς τῷ στόματι τὰ γόνατα ἔχων κατεκλίθη. (γυμναστικῶς δὲ, παλαιστρικῶς. χύτλασον δὲ, διάχυσον σεαυτὸν, ὑγρῶς ἄλειψαι. χυτλάζειν δὲ τὸ μιγνύναι καὶ διαχεῖν. χύτλα δὲ κυρίως τὸ ὑγροῦ ἔτι ἀπὸ ὕδατος ὄντος τοῦ σώματος ἀλείψασθαι. καὶ χύτλον τὸ ὑδρέλαιον.)

1214. (ἐπαίνεσόν τι τῶν χαλκωμάτων : Ὡς οἱ ἐν συμποσίοις ἀνακείμενοι πρὸ τοῦ προσφάγια εἰσενεχθῆναι ἐπαινοῦσι τὰ ἐν τῇ οἰκίᾳ σκεύη, καὶ τὴν οἰκίαν, καὶ τὰ ἐν τῇ αὐλῇ.)

1215. κρὲξ ὄρνεον παραπλήσιον γεράνῳ. R.

1216. (ὕδωρ κατὰ χειρός : Λείπει τὸ αἴτησον. οὕτως δὲ ἔθος λέγειν, ὕδωρ κατὰ χειρὸς, πρὸ τοῦ εἰσαχθῆναι τὴν τράπεζαν· μετὰ δὲ τὸ δειπνῆσαι, ἀπονίψασθαι δὸς ὦ παῖ.)

1218. (ἐνύπνιον ἑστιώμεθα : Ὅτι εἴρηται μὲν τὰ ἐν συμποσίῳ, οὐ μὴν γεγένηται, ὡς ὄνειρόν φησιν ἑορακέναι.)

1221. Ἀκέστορος : Ἐπεὶ καὶ αὐτὸν τὸν Ἀκέστορα ξένον κωμῳδοῦσι τὸν τραγικὸν, (ὃς ἐκαλεῖτο Σάκας. Θεόπομπος Τισαμενῷ οὐ κοινῶς ξένον, ἀλλὰ Μυσόν·

τὸν δὲ Μύσιον
Ἀκέστορ' ἀναπέπεικεν ἀκολουθεῖν ἅμα.

καὶ Μεταγένης Φιλοθύτῃ ὁμοίως

ὦ πολῖται, δεινὰ πάσχω. τίς πολίτης δ' ἐστὶ νῦν
πλὴν ἄρ' ἢ Σάκας ὁ Μυσὸς καὶ τὸ Καλλίου νόθον;

1222. (τὰ σκολι' ὅπως δέξῃ καλῶς : Ἀρχαῖον ἔθος ἑστιωμένους ᾄδειν ἀκολούθως τῷ πρώτῳ, εἰ παύσαιτο τῆς ᾠδῆς, τὰ ἑξῆς. καὶ γὰρ ὁ ἐξ ἀρχῆς δάφνην ἢ μυρρίνην κατέχων ᾖδε Σιμωνίδου ἢ Στησιχόρου μέλη ἄχρις οὗ ἤθελε, καὶ μετὰ ταῦτα ᾧ ἐβούλετο ἐδίδου, οὐχ ὡς ἡ τάξις ἀπῄτει. καὶ ἔλεγεν ὁ δεξάμενος παρὰ τοῦ πρώτου τὰ ἑξῆς, κἀκεῖνος ἐπεδίδου πάλιν ᾧ ἐβούλετο. διὰ τὸ πάντας οὖν ἀπροσδοκήτως ᾄδειν καὶ λέγειν τὰ μέλη, σκολιὰ εἴρηται, διὰ τὴν δυσκολίαν. Ἄλλως. ὅπως παραδέξῃ. ἐν κύκλῳ γὰρ ᾖδον τὰ σκολιά, ἅ εἰσι παροίνιοι ᾠδαί.)

1223. (ὡς οὐδείς γε Διακρίων : Ὡς εἰς ταύτην ἑαυτὸν ἀναπέμπων τὴν τάξιν τοῦ πολιτεύματος. κατὰ γὰρ τοὺς Σόλωνος νόμους τρεῖς ἦσαν αἱ τάξεις, μία μὲν τῶν Παραλίων, ὧν προειστήκει Μεγακλῆς, ἑτέρα δὲ τῶν Πεδιέων, ὧν προειστήκει Λυκοῦργος, τρίτη δὲ τῶν Διακρίων, ὧν προειστήκει Πεισίστρατος. τὴν δὲ χώραν τὴν Διακρίαν Πανδίονά φασι τοῖς υἱοῖς διανείμαντα τὴν ἀρχὴν Λύκῳ δοῦναι, Αἰγεῖ δὲ τὴν περὶ τὸ ἄστυ, Πάλλαντι δὲ τὴν παραλίαν, Νίσῳ δὲ τὴν Μεγαρίδα.)

1227. (οὐχ οὕτω γε πανοῦργος : Τοῦτο εἶπεν, ὡς διαδεχόμενος αὐτὸν κατὰ τὴν τάξιν τῶν τὰ σκόλια λεγόντων. οὐδὲν δὲ τοῦτο πρὸς τὸ ἑξῆς τοῦ σκολίου, ἀλλ' εἰς τὸν δῆθεν λέγοντα Κλέωνα αἰνίττεται.)

1234. (ἄνθρωφ' οὗτος ὁ μαινόμενος : Παρὰ τὰ Ἀλκαίου « ὤνηρ οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος, ἀν« τρέψει τάχα τὰν πόλιν· ἁ δ' ἔχεται ῥοπᾶς. » ἀντὶ τοῦ ζητῶν μέγα κράτος. οὕτω δὲ Αἰολεῖς.)

1235. (ἀνατρέψεις : Ἀνατρέψεις ταχέως τὴν πόλιν, ἥτις πρὸς τοῦτο ῥέπει. ἐκ τῶν Ἀλκαίου δὲ παρῳδεῖ εἰς Κλέωνα ὡς μαινόμενον.)

1239. Ἀδμήτου λόγον : Καὶ τοῦτο ἀρχὴ σκολίου. (ἑξῆς δέ ἐστι)

τῶν δειλῶν ἀπέχου γνοὺς ὅτι δειλῶν ὀλίγα χάρις.

(καὶ ἐν Πελαργοῖς

ὁ μὲν ᾖδεν Ἀδμήτου λόγον πρὸς μυρρίνην,
ὁ δ' αὐτὸν ἠνάγκαζεν Ἁρμοδίου μέλος.

Ἡρόδικος δὲ ἐν τοῖς κωμῳδουμένοις καὶ τὸν Ἄδμητον ἀναγέγραφε παραθεὶς τὰ τοῦ Κρατίνου ἐκ Χειρώνων

Κλειταγόρας ᾄδειν, ὅταν Ἀδμήτου μέλος αὐλῇ.

Ἀπολλώνιος δὲ ὁ Χαίριδος, ὡς Ἀρτεμίδωρός φησι, περὶ μὲν τῆς Κλειταγόρας τῆς ποιητρίας, ὅτι ὡς ἀνδρώνυμον ἀναγέγραφε Κλειταγόραν, Ἀμμώνιος ἀπελέγχει αὐτὸν, περὶ δὲ τοῦ Ἀδμήτου παρεῖχεν. αὐτὸς δέ φησι Φανόδημον λέγειν, ὅτι φυγὰς ἐκ Φερῶν Ἄδμητος ἦλθε πρὸς Θησέα μετ' Ἀλκήστιδος καὶ Ἱππάσου τοῦ νεωτάτου τῶν παίδων καὶ κατῳκίσθη παρ' αὐτοῦ ἐν τῇ αὐτοῦ χώρᾳ· εἰς ὃν τὸ σκόλιον.) [τινὲς δέ φασιν ὡς Ἀλκήστιδος ὑπεραποθανούσης Ἀδμήτου τοῦ ἀνδρὸς αὐτῆς, σκόλια καὶ πενθήρη πρὸς αὐτὸν ᾖδοντο μέλη, μέχρις ἂν ἡ Κόρη ἀνέπεμψεν Ἄλκηστιν· ὡς δ' Εὐριπίδης, Ἅδῃ μαχεσάμενος Ἡρακλῆς. οἱ δέ φασιν ὡς ἔθος ἦν τὸν μὴ δυνάμενον ἐν τοῖς συμποσίοις ᾆσαι δάφνης κλῶνα ἢ μυρρίνης λαβόντα πρὸς τοῦτον ᾄδειν. ἔνιοι δέ φασιν

ὡς ἐκ τοῦ ἐναντίου προσηγορεύθησαν σκολιὰ τὰ παροίνια μέλη. ἁπλᾶ γὰρ αὐτὰ ἐχρῆν εἶναι καὶ εὔκολα, ὡς παρὰ πότον ᾀδόμενα. οὐκ εὖ δὲ τοῦτο· τὰ γὰρ δύσφημα ἐπὶ τὸ εὐφημότερον μεταλαμβάνεται, οὐ μὴν τοὔμπαλιν· ἀλλ' ὅτι οὐκ ἀπὸ τοῦ ἑξῆς ἡ λύρα τοῖς συμπόταις ἐδίδοτο, ἀλλ' ἐναλλάξ, διὰ τὴν σκολιὰν τῆς λύρας περιφορὰν σκολιὰ ἐλέγετο.]

1240. (τούτῳ τι λέξεις σκολιόν : Κολακικὸν τὸ σκολιὸν καὶ παρὰ Θεώρου. τοῦτο οἱ μὲν Ἀλκαίου, οἱ δὲ Σαπφοῦς· οὐκ ἔστι δέ, ἀλλ' ἐν τοῖς Πραξίλλης φέρεται παροινίοις.)

1241. (ἀλωπεκίζειν : Πανουργεῖν, κολακεύειν. οὐδὲν δὲ τοῦτο πρὸς τὸ σκολιὸν τὸ εἰρημένον ὑπὸ Θεώρου, ἀλλ' ὡς κόλακα διαβάλλει αὐτόν.)

1244. (ἀνὴρ σοφός : Ὡς εἰ μὴ σοφός, οὐδὲ μουσικός.)

1245. Κλειταγόρᾳ τε : (Κλειταγόρας μέλος λέγουσι τὸ εἰς αὐτὴν) Κλειταγόραν, ἥτις ἐγένετο ποιήτρια, (Θετταλή τις γυνή. Ἁρμοδίου μέλος τὸ εἰς Ἁρμόδιον, καὶ Ἀδμήτου τὸ εἰς Ἄδμητον. ἐκ σκολιοῦ τινός ἐστιν. Ἀθηναίοις δὲ Θετταλοὶ συνεμάχησαν ἐν τῷ πρὸς τοὺς τυράννους πολέμῳ.)

1246. (πολλὰ δὲ διεκόμισας : Τοῦτο, φησίν, ἐπάξω πρὸς τὸ σκολιὸν Αἰσχίνου, ἐπεὶ κομπαστὴς ἦν.)

1250. (εἰς Φιλοκτήμονος : Φιλοκτήμων ἄσωτος οὗτος καὶ συνεχῶς δεῖπνα ἐποίει.)

1251. τὸ δεῖπνον Χρυσέ : Μεταβαλεῖν θέλει τοὺς τρόπους τὸν πρεσβύτην. (εἰ γάρ πού τις ἐκαλεῖτο εἰς ἄριστον, ἢ εἰς δεῖπνον, τὸ ἄριστον ἢ τὸ δεῖπνον ἑαυτοῦ ἔφερε.) τὸ ὄνομα δὲ τοῦ θεράποντος Χρυσός. (πατάξαι : γράφεται καὶ καταράξαι ἀντὶ τοῦ καταβαλεῖν τὴν θύραν.)

1256. οὐδὲν πείσει ἂν συνῇς (ἀνδράσιν addit G.) ἀστείοις. R. V.

1257. παρῃτήσαντο : Οἷον παρεμυθήσαντο τὸν ἀδικηθέντα, (ἢ ἐρρύσαντο τῆς δίκης, καὶ ἀπέλυσαν τῆς αἰτίας. καὶ παρῃτεῖτο ἀντὶ τοῦ ἐλιπάρει, παρεκάλει, παρ' Ἡροδότῳ [5, 33] « ὁ δὲ ἐλθὼν παρῃτεῖτο τὸν Πέρ-« σην· τυγχάνων δὲ οὐδενὸς ὧν ἐδέετο, αὐτὸς ἔλυ-« σεν. »)

1259. (Αἰσωπικὸν γέλοιον : Μῦθοι οὗτοι ἐγένοντο. καὶ οἱ μὲν Αἰσωπικοὶ περὶ τῶν τετραπόδων ἦσαν, οἱ δὲ Συβαριτικοὶ περὶ τῶν ἀνθρωπίνων. οὗτοι δὲ οἱ μῦθοι πολιτικοὶ ἦσαν. τὸ δὲ ἑξῆς· ἔλεξας ἐν τῷ συμποσίῳ λόγον, ὃν ἔμαθες, Αἰσωπικὸν ἢ Συβαριτικόν. ἀφεὶς δέ, ὁ παθὼν δηλονότι.)

1264. ἀπαλλάττονται. V.

1265. (πολλάκις δὴ 'δοξα : Ὁ ποιητὴς ταῦτα λέγει ἀπὸ προσώπου τοῦ χοροῦ. παραβατικὰ δὲ τὰ μελύδρια.) παραβατικά. εἶτα τὸ ἀντεπίρρημα. R.

1267. ἀλλ' Ἀμυνίας : Κομήτης ὁ Ἀμυνίας, (Προνάπου υἱός. ὁ γὰρ Σέλλος οὐκ ἦν αὐτοῦ πατήρ, ἀλλ' Αἰσχίνου. ἵνα οὖν καὶ τὸν Ἀμυνίαν καὶ τὸν Αἰσχίνην κωμῳδήσῃ ὡς πένητας, τοῦτο εἶπεν. ὁ δὲ κρωβύλος ἐστὶν εἶδος πλοκῆς ἐπ' ἀνδρῶν εἰς ὀξὺ ληγούσης. ἐκ τοῦ προειρημένου δὲ προσληπτέον τὸ σκαιός μοι ἔδοξε. Σέλλου δὲ εἶπεν, ἐπειδὴ πένης Αἰσχίνης ὁ Σέλλου. ἐκ τῶν κρωβύλου δέ, ὅτι κομήτης, ὡς ἔμπροσθεν εἶπε.) — κατὰ κοινοῦ τὸ σκαιός. V.

1268. (ἀντὶ μήλου καὶ ῥοιᾶς : Τῶν ἐπὶ τῶν δαψιλῶν ὄψων. οἷον, ὅτι οὐκ εἶχον ταῦτα, καὶ ἀντὶ τούτων αὐτὸν εἶδον.)

1270. (ἧπερ Ἀντιφῶν Ἀντιφῶν : τοῦ Ἀνδοκίδου, περὶ οὗ προείρηται. καὶ οὗτος δὲ πένης ἦν ὁ Ἀντιφῶν.)

1271. (ἐς Φάρσαλον : Φάρσαλος πόλις Θεσσαλίας. καὶ Εὔπολις ἐμφαίνει τὴν πρεσβείαν ἐν ταῖς Πόλεσιν « χἀμυνίας ἐκεῖνος ἀμέλει κλαύσεται, | ὅτι ὢν ἄγροι-« κος ἵσταται πρὸς τῷ μύρῳ· | ὅτι θεῶν ἕνεκα ἔπλευσε « κακὸς ὢν εἴσεται. » Πενέστας δὲ λέγεσθαί φασι τὸ θητικὸν παρὰ τοῖς Θετταλοῖς. ἔθνος δὲ ἦν πάλαι ἀπὸ Πενέστου τὴν ἐπωνυμίαν ἔχον, ὃς ἀνέφερε τὸ γένος εἰς Θεσσαλὸν τὸν Ἡρακλέους. δέον οὖν εἰπεῖν μετὰ τῶν πολιτευομένων συνῆν, εἶπε μετὰ τῶν Πενεστῶν, ἀντὶ τοῦ μετὰ τῶν πενήτων. καταλελυμένον γὰρ ἦν ἐκεῖνο τὸ σύστημα τῶν Πενεστῶν, καὶ λοιπὸν οἱ πένητες καὶ οἱ Θῆτες Πενέσται ἐκαλοῦντο.)

1275. (ὦ μακάρι' Αὐτόμενες : Ὁ Αὐτομένης ἔσχε τρεῖς υἱούς, τὸν μὲν κιθαρῳδόν, τὸν δὲ ὑποκριτήν, τὸν δὲ τῷ στόματι αἰσχρουργοῦντα.)

1276. ὅτι χειρ. : Μάλιστα. *Vict.*

1278. (κιθαραοιδότατον : Τῇ λέξει καὶ Εὔπολις κέχρηται ἐν Χρυσῷ γένει « ὦ κατάλαβρ', ὦ κιθαραοιδότατε. »)

1279. (τὸν δ' ὑποκριτήν : Οὐκ ἔστι σαφὲς τίς τῶν ὑποκριτῶν Αὐτομένους ἐστὶν υἱός.

ἀργαλέον ὡς σοφόν : Ἀντὶ τοῦ δυσχερὲς εἰπεῖν, ὅπως ἦν σοφός.)

1280. θυμοσοφικώτατον : (Θυμόσοφοι λέγονται) ὅσοι ἀφ' ἑαυτῶν εὐφυεῖς εἰσιν.

1272. (ὅν ποτ' ὤμοσε : Τίς ὤμοσεν, εἰ μὴ ἄρα ὁ πατήρ. Ἀρίγνωτον δὲ λέγει τὸν κιθαρῳδόν. δῆλον δὲ ἐκ τοῦ Ἀριφράδην λέγεσθαι υἱὸν Αὐτομένους καὶ ἀδελφὸν Ἀριγνώτου.) — ὅτι δὲ φίλως ἐῴκει ἔχειν πρὸς τὸν Ἀρίγνωτον, ἐν τοῖς Ἱππεῦσι [1278] δῆλον. ὁ πατὴρ αὐτῶν Αὐτομένης. ἔστρεφε τὸν λόγον. V.

μετὰ τοῦτο διάλειμμα στίχων ἀνάστατον εἶναι. τῶν πλείστων δὲ εὗρον ἕνδεκα. μετὰ τὸ διάλειμμα ἐν πολλοῖς φέρεται στίχου ἑνὸς καὶ τρίτου ὅμοσου προσπίπτει. Ἡλιόδωρος, μετὰ τὸν στίχον τὸν « γλωττοποιεῖν εἰς τὰ πορνεῖ 'εἰσιόνθ' ἑκάστοτε » εἰσὶ τόποι ἑπτὰ ἔχοντες στιγμάς, καὶ ἀλόγως, ὧν ἐκ προχείρου μὲν εὑρεῖν τὸν λόγον οὐκ ἔστι. τὰ δὲ τοιαῦτα πολλάκις εἶπον ὅτι ὑπολαμβάνω ἐν τοῖς πρώτοις ἀντιγράφοις φθαρέντα, ὅτι μὲν τοσαῦτα ἦν τὸν ἀριθμὸν γνωσθῆναι, οὐ μὴν τίνα. V.

1284. (εἰσί τινες : Ἄδηλον πότερον τῆς Καλλιστράτου εἰς τὴν βουλὴν εἰσαγωγῆς καὶ νῦν μιμνήσκεται, ὅτι αὐτὸν Κλέων εἰσήγαγεν, ἢ ἑτέρας κατ' αὐτοῦ γενομένης Ἀριστοφάνους, καὶ μὴ εἰσαγωγῆς, ἀλλὰ ἀπειλῆς

τινος, ὅπερ καὶ μᾶλλον ἐμφαίνεται. ἐκεῖνά τε γὰρ ἀναπολεῖν ἀρχαιότερα ἔσται, νῦν τε ὡς περὶ αὐτοῦ λέγει. ἔκνισεν ἀντὶ τοῦ ἐκάκισεν.) — ἐλύπησεν. *Vict.*

1285. (ἡνίκα Κλέων : Ἐπέκειτο γὰρ αὐτῷ ὁ Κλέων ὅτι ἐκωμῳδεῖτο ὑπ' αὐτοῦ. ἄδηλον δὲ εἰ μετὰ τὸ διδάξαι τοὺς Ἱππέας λέγει.)

1288. ὅσον δὲ μόνον εἰδέναι : Ἀντὶ τοῦ τοσοῦτον δὲ μόνον προεῖδον, εἴ ποτε θλιβόμενος ὑπὸ Κλέωνος σκώψω αὐτόν.

1290. ὑπό τι μικρὸν ἐπιθήκισα : (Ταῦτα ἐννοῶν φησιν, ὅτι τύπτομαι ὑπ' αὐτοῦ, καὶ οὐδενὶ μέλει, μικρὸν αὐτὸν ἐκολάκευσα.) — ἰδὼν ὅτι βοηθεῖν οὐδείς, γελάσαι δὲ μόνον σπεύδουσιν, ἐπιθήκισα καὶ ὑπῆλθον αὐτόν. R.

1291. ἐξηπάτησεν ἡ χάραξ : (Παροιμία, ὅταν ὑπὸ τοῦ σωζομένου τὸ σῶζον ἀπατηθῇ, ἢ ὅταν ἐξαπατηθῇ τις πιστεύσας. ἔστιν οὖν παροιμία ἀπὸ τῶν καλάμων τῶν προσδεσμουμένων ταῖς ἀμπέλοις, οἳ ἐνίοτε ῥιζοβολήσαντες ὑπεραύξονται τῶν ἀμπέλων. νυνὶ δὲ ἠπάτησα ὑπὲρ τοῦ ποιῆσαι λέγεσθαι τὰς κωμῳδίας.) ἐψηφίσατο γὰρ ὁ Κλέων μηκέτι δεῖν κωμῳδίας ἐπὶ τῷ θεάτρῳ εἰσάγεσθαι, ὅτι δὴ ξένων παρόντων πολίτας ἔσκωπτον. (Ἄλλως. ὅτι πολλάκις τὰ μεγάλα ἀπεσφάλη τῆς ἰδίας δόξης, πιστεύσαντα ἑαυτὰ τοῖς μικροῖς.)

1292. ἰὼ χελῶναι : (Ὁ οἰκέτης ἐξέρχεται τυπτηθεὶς ὑπὸ Φιλοκλέωνος.) — ἀποδέχεται τὰς χελώνας ὡς παχυδέρμους καὶ μὴ αἰσθανομένας πληγῶν, ἑαυτὸν δὲ θρηνεῖ ὡς λεπτόδερμον. Ἄλλως. ὅτι κοινῶς καὶ τὸ ὄστρακον δέρμα ἔλεγεν, καθὸ καὶ ὀστρακόδερμα καλοῦσιν αὐτὰ οἱ περὶ Ἀριστοτέλη. V.

1294. καὶ νουβυστικῶς : Ἀντὶ τοῦ συνετῶς, (νοῦ πεπληρωμένως, παρὰ τὸ νοῦς καὶ τὸ βῦσαι, ὅ ἐστι πληρῶσαι. [Od. Δ, 134 :] « νήματος ἀσκητοῖο βεβυσμένον. » κεῖται καὶ ἐν Ἐκκλησιαζούσαις [441].)

1295. (κεράμῳ τὸ νῶτον : Ὡς περὶ ὀρόφου στέγης διαλέγεται. ἔνιοι δὲ στιζόμενος γράφουσιν, οἷον κεντούμενος. ἐὰν δὲ σταζόμενος γράφηται, καὶ οὕτως ἔσται παρὰ τῶν ψακάδων· οὕτως πυκνὰ τυπτόμενος.) — τὸ δὲ στιζόμενος ἀντὶ τοῦ κεντούμενος. R. (στέγειν δὲ ἀντὶ τοῦ συνέχειν. ὅθεν καὶ ἡ στέγη ἡ περιέχουσα.)

1297. κἂν ᾖ γέρων : Ὡς γέροντος ὄντος τοῦ οἰκέτου. *Vict.*

1302. (οἱ περὶ Φρύνιχον : Τῶν κολάκων ἂν εἴη Φρύνιχος ὁ ποιητής. ὁ δὲ Σύμμαχός φησιν, εὐλογώτατον ἂν εἴη τὸν τραγικὸν ὑποκριτὴν Φρύνιχον.)

1306. (ὥσπερ καχρύων : Ὥσπερ ὄνος κριθῶν κορεσθείς. — ὅτε γὰρ κορέννυνται, μᾶλλον σκιρτῶσιν. V.)

1309. (ἔοικας ὦ πρεσβῦτα : Δίδυμός φησιν ὅτι ἀδιανόητα σκώπτει ἐνταῦθα. τὸ δὲ τρυγὶ ὡς πρὸς γεγηρακότα λέγει.)

1310. (κλητῆρί τ' : Διὰ τὸ φιλοδικαστὴν εἶναι, καὶ ὅτι ὡς ἐπίπαν γέροντας παρελάμβανον κλητῆρας. τὸ δὲ λοιπὸν παιδιᾶς ἕνεκεν, ἢ οὐδὲν πρὸς ἔπος, παρὰ τὴν παροιμίαν, ὄνος εἰς ἀχυρῶνα ἀπέδρα. ὁ δὲ ἀχυρὸς παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει, ὅπου καὶ τὸ Πλάτωνος παράκειται ἐξ Ἀδώνιδος.)

1311. (ὁ δ' ἀνακραγών : Καὶ ταῦτα ἀπρόσλογα, ἐπεὶ καὶ τῷ ἀποδεδρακότι ἀπρόσλογον ἐκεῖνος εἶπεν.)

1312. τὰ θρῖα τοῦ τρίβωνος : Ἐπεὶ ἐνίοτε ὥσπερ φύλλα ἐμποικίλλουσι. Σθένελος δὲ τραγικός, ὃς διὰ πενίαν τὴν τραγικὴν ἀπέδοτο σκευὴν κακῶς πράττων ἐν τῇ τέχνῃ. (περὶ τούτου γέγραπται ἐν Γηρυτάδῃ· « καὶ « πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα; εἰς ὄξος ἐμ« βαπτόμενος, ἢ ξηροὺς ἅλας. » — Πλάτων Σκευαῖς « ἅψαι μόνον οὐκ ἂν ἄκρῳ τῇ μορσίμῳ, ἵνα σου πα« τήσω τὸν Σθένελον μάλ' αὐτίκα. » V. — οὗτος δ' ἐλαύνων ἐπὶ τοῖς τείχεσιν ἐνδεικνύμενος διεχλεύαζεν. διακεκαρμένῳ δὲ ἀφῃρημένῳ, πωλήσαντι. διεμύλλαινε δὲ ἀντὶ τοῦ ὑπερηφάνως τὰ χείλη διέστρεφεν ὡς χλευάζων καὶ μὴ ἡσθεὶς τῷ λελεγμένῳ.)

1317. ἐπὶ τῷ κομᾷς : Ἐπεὶ κομήτης ὁ Θούφραστος. ἔστι δὲ καὶ τῶν κολάκων. (ἢ μέγα φρονεῖς. ἐν μέρει δέ, καθ' ἕκαστον.)

1321. (οὐδὲν εἰκότας : Οὐδὲν ἁρμόζοντας τῷ πράγματι.)

1324. ὁδὶ δὲ δὴ σφαλλόμενος : Κινούμενος ὑπὸ μέθης.

1326. ἄνεχε, πάρεχε : (Μετὰ λαμπάδων ἔρχεται καὶ μετὰ αὐλητρίδος, ἀποστάσας αὐτὴν ἐκ τοῦ συμποσίου. ὁ δὲ νοῦς παρὰ τὴν ἐν Τρῳάσι [309] Κασάνδραν « ἄνεχε, πάρεχε, φῶς φέρω, σέβω, φλέγω. » οὕτω πάντες. ὅμως ὑστερεῖ ἡ τῶν Τρῳάδων κάθεσις ἔτεσιν ἑπτά.) — ἐκ Τροιάδων Εὐριπίδου. Κασάνδρα φησὶν « ἄνεχε πάρεχε, φῶς φέρω, φλέγω, σέβω. » R.

1328. (ἐπακολουθούντων ἐμοί : Ἠκολούθουν γὰρ αὐτῷ τινες τῶν τυφθέντων ὑπ' αὐτοῦ.)

1329. (εἰ μὴ 'ρρήσεσθε : εἰ μὴ ἀναχωρήσετε. τὸ ὑμᾶς δὲ πρὸς τὸ φρυκτούς. τὸ δὲ οἷον ἀντὶ τοῦ οἵως. τὸ δὲ ἑξῆς, οἵως ὑμᾶς ὡς ἰχθύδια πεφρυγμένα τῇ δαΐδι φρυκτοὺς σκευάσω ὀπτήσας. προσκαλούμενοι, εἰς τὸ δικαστήριον δηλονότι.)

1335. (ἰῆ ἰεῦ : Χλευαστικὸν ἐπίρρημα τοῦτο. καταφρονεῖ λοιπὸν καὶ τῶν δικαστικῶν ῥημάτων. τὸ γὰρ καλούμενοι ἀπορρίπτει.)

1339. (βάλλε κημούς : Βάλλε ἐς κόρακας τὰ δικαστικὰ σκεύη.)

1341. ἀνάβαινε δεῦρο : Ἑταίρα τις ἠκολούθει αὐτῷ, ἣν ἔλαχεν ἐκ τοῦ συμποσίου, ᾗ καὶ προσβάλλει καὶ πειρᾶν ἄρχεται.

χρυσομηλολόνθιον : Ἐπί τινος μετεώρου ὁ γέρων ἐφεστὼς προσκαλεῖται προσχοριζόμενος τὴν ἑταίραν. χρυσομηλολόνθιον δὲ ζωΰφιόν ἐστι κατὰ κάνθαρον, ξανθόν, ὃ καὶ κατέχοντες οἱ παῖδες δεσμεύουσιν ἐκ τοῦ ποδὸς καὶ ἀφιᾶσι ⟦πρὸς τὸν ἀέρα⟧. (Ἄλλως. πρὸς τὴν ἑταίραν ὁ γέρων, παρὰ τὸ μηλολόνθιον χρυσίζοντα ἔχειν τὰ πτερά. οὐ γὰρ οἶμαι τὸ χρυσόμηλον γνωρίζεσθαι, εἰ δὲ μή, σύνθετον ἂν εἴη ἐκ τούτων.)

1342. σχοινίου : (Ἴσως τοῦ πέους. παίζει δέ. σαπρὸν

δὲ παλαιόν. γέρων γὰρ ἦν. ὑφειλόμην δὲ, ἔκλεψα ἐκ τῶν συμποτῶν.) — τοῦ αἰδοίου. R.

1346. μέλλουσαν ἤδη λεσβιεῖν : Τὸ λεσβιεῖν ἐπὶ τοῦ αἰσχροῦ τάττεται, (ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι). παρὰ τὸ ἱστορούμενον, ὅτι παρὰ Λεσβίοις τοῦτο πρῶτον γυνὴ ἔπαθε. (καὶ παρὰ Θεοπόμπῳ ἐν Ὀδυσσεῖ « ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ « θρυλούμενον | δι' ἡμετέρων στομάτων | εἴπω σό- « φισμ' ὅ φασι παῖδας Λεσβίων | εὑρεῖν. » Στράττις ἐν Τρωΐλῳ « ἦ μήποτ', ὦ παῖ Ζηνὸς, ἐς ταυτὸν μόλῃς· | « ἀλλὰ παραδοὺς τοῖς Λεσβίοις χαίρειν ἔα. » καὶ ἐν Πυτίσῳ « ἐγὼ δ' ἅτ' ἐλπίνικος, ὀργισθεὶς ἔφη, | τῷ « στόματι δράσω τοῦθ', ὅπερ * * *. »)

1348. φιαλεῖς : (Τῷ ἔργῳ ἐπιβαλεῖς. Ὅμηρος [Od. X, 49] « αὐτὸς γὰρ ἐπίηλεν τάδε ἔργα. » ἀντὶ τοῦ ἐπεβάλλετο. — Φρύνιχος Ἐφιάλτῃ « ὄνομα δέ τῳ τοῦτ' « ἦν ἔσωθεν γῆν τε μὴ ἔστω φιάλτης ἀνδραγαθίας οὕ- « νεκα ἔτι ἐπιαλὰς χρηστὰ λε ἀπωλόμην. » ἐν δὲ Τριφάλητι Ἀριστοφάνης « κοὐδέν' ἄνδρ' εἰς ἄτοπον οὐδ' ἂν « ἐπιήλαμεν. » δύναται καὶ τὸ προθυμεῖσθαι. « οὐ γὰρ ἐπίηλε τάδε ἔργα » ἀντὶ τοῦ προεθυμήθη. V. — καὶ φιαλοῦμεν τουτέστι τῷ ἔργῳ ἐπιβαλοῦμεν, ἐπὶ τοῦτο ὁρμήσομεν· φιαλεῖν γὰρ τὸ ἄρχεσθαι τοῦ πράγματος. ὁ αὐτὸς Ἀριστοφάνης [Pac. 431] « ἄγε δὴ σὺ ταχέως ὕπεχε « τὴν φιάλην, ὅπως | ἔργῳ φιαλοῦμεν, εὐξάμενοι « τοῖσιν θεοῖς. Ἄλλως. ») φιαλεῖν μὲν κυρίως τὸ τῇ φιάλῃ πίνειν, νῦν δ' ἴσως καὶ κακεμφάτως.

1349. ἐγχανεῖ ἐπὶ τῶν καταγελώντων. ἅμα δὲ καὶ κακεμφάτως. V.

1350. (πολλοῖς γὰρ ἤδη χἀτέροις : Ἤτοι τὸ αἰσχρὸν χἀτέροις εἰργάσω, ἢ ἐκφεύγεις ἐμέ. καὶ γὰρ ἄλλοις αὐτὸ ἐποίησας.)

1351. ἐὰν δὲ γένῃ : Μιμεῖται τοὺς νεανίσκους λέγοντας [πρὸς τὰς ἑταίρας καὶ ὀμνύντας], ἐάν μου ὁ πατὴρ ἀποθάνῃ, δώσω σοι πάντα [καὶ συνοικήσω μετὰ σοῦ].

1353. λυσάμενος ἔξω : (Ἀντὶ τοῦ ἐλευθερώσας ἐν τοῦ πορνοβοσκείου.) τὰ γυναικεῖα αἰδοῖα χοίρους λέγουσιν.

1355. καὶ φυλάττομαι σφόδρα : Καθὸ δὶς παῖδες οἱ γέροντες. (ἢ παρ' ὑπόνοιαν οἱ παῖδες ταῦτα λέγουσιν.) ἀπὸ τοῦ υἱοῦ υἵδιον ὡς ἀπὸ τοῦ πατρὸς πατρίδιον.

1357. κυμινο. : Παίζει ἐνταῦθα, σμικρολόγον αὐτὸν καὶ ὀξύθυμον λέγων. κυμινοπρίστας γὰρ τοὺς φειδωλοὺς καὶ σμικρολόγους ἐκάλουν. συνέθηκε δὲ τὴν λέξιν μετὰ τοῦ καρδάμου διαβάλλων αὐτὸν ὡς ὀξύθυμον. — παίζει παρὰ τὸ κύμινον, ὅ ἐστι δριμύτατον, καὶ τὸ σμικρολόγον, πρίστας γὰρ τοὺς μικρολόγους ἐκάλουν, καὶ παρὰ τὸ κάρδαμον, ὅπερ ἐστὶ δριμὺ, τὴν σύνθεσιν ποιήσας, εἰς μικρολογίαν διαβάλλων αὐτὸν καὶ ὡς ὀξύθυμον. V.

1358. (περί μου δέδοικε : Δι' ἐμοῦ φειδωλός ἐστιν, ἵνα μὴ ἐν ἐξουσίᾳ ἔχων τὰ χρήματα διαφθείρω.)

1359. πατὴρ γὰρ οὐδείς : Ἀστείως. (εἰώθασι γὰρ οἱ παῖδες λέγειν, μόνος εἰμὶ τῷ πατρί. ἀντὶ δὲ τοῦ εἰπεῖν υἱὸς εἶπε πατὴρ παίζων.)

1361. δετάς : Τὰς λαμπάδας. (ὡς ἀπὸ τοῦ δέω δετὴ ῥηματικῶς, [ἡ συνδεδεμένη ἐκ παπύρων]. καὶ Ὅμηρος [Il. Λ, 554] « καιόμεναί τε δεταί. » τωθάσω δὲ σκώψω· πρὸ τῶν μυστηρίων δὲ ὅτι οἱ μεμυημένοι τοὺς μέλλοντας μυεῖσθαι δεδίττονται.) — τοῖς γὰρ μυστηρίοις ἐσκώπτοντο. τοὺς γὰρ μέλλοντας μυεῖσθαι προλαβόντες δεδίττονται. R. V.

1364. τυφεδανέ : (Ἐπεὶ) τυφογέροντας εἰώθασι λέγειν τοὺς παραληροῦντας καὶ ἀξίους τετύφθαι. χοιροθλὶψ δὲ ὁ τὸ γυναικεῖον αἰδοῖον ἀποθλίβων. (ἢ παρὰ τὰς χοιρίνας, ὡς φιλοδικαστὴν τὰς χοιρίνας πιέζοντα κωμῳδῶν.)

τἀναντία λοιδορεῖται ὁ γέρων τῷ υἱῷ. R. V.

1365. ὡραίας σοροῦ : (Παρὰ τὴν ὑπόνοιαν οἷον κόρης.) καὶ τοῦτο δὲ ἀντεστραμμένως εἰς γέροντά τὴν αὐλητρίδα [πειρῶντα].

1367. (ἐξ ὄξους δίκην : Ἀντὶ τοῦ εἰπεῖν κρέα, ἢ ἕτερόν τι, δίκην εἶπε. μισῶν οὖν τὰς δίκας λοιπὸν αὐτὸς ὁ Φιλοκλέων, ὡς εἰς ὕβρεις ταῦτα λέγει τῷ υἱῷ.)

1368. (τὴν αὐλητρίδα : Τὸ γένος τοῦ γελοίου παρὰ Ἀριστοφάνους ἐντεῦθεν ἀρξάμενον.)

1370. ἀπὸ τύμβου πεσών : Καὶ τοῦτο ὡς εἰς γέροντα, ἀντὶ τοῦ, ἀπὸ νοῦ καταπεσών. (Ἄλλως. ἐπεὶ ὡς νέος διαλέγεται. εἰώθασι δὲ οἱ νέοι γέρουσι τοῦτο λέγειν.)

1371. (ἡ Δαρδανίς : Ἐπεὶ ἀπὸ Δαρδανίας φέρονται αἱ αὐλητρίδες.)

1372. ταύτῃ δὲ παρὰ τοῦ γέροντος εἴληφε τὰς δᾷδας. Ven.

1373. ἐστιγμένην : Ἐστιγμένην (λέγει τὴν δᾷδα) ἐζωγραφημένην· ἔγραφον γὰρ καὶ ἐκόσμουν τὰς λαμπάδας. — παρὰ τοῦ γέροντος εἴληφε τὰς δᾷδας. διεστιγμένης, διερρηγμένης περὶ τοῦ γυναικείου αἰδοίου. R. (ἢ ὡς Θρᾷσσαν καὶ Δαρδανίδα τὴν αὐλητρίδα φησὶν ἐστιγμένην, διὰ τὸ κεκαλλωπισμένην εἶναι, καὶ διὰ τὸ κατέχειν δᾷδας.)

1374. (τί δὲ τὸ μέλαν : Περὶ τοῦ γυναικείου αἰδοίου ἐρωτᾷ τετριχωμένου.)

1375. (ἡ πίττα : Ἐπεὶ καὶ αἱ δᾷδες καιόμεναι πίτταν ἀποτελοῦσιν.)

1377. ὄζος : (Κλάδος. ἅμα καὶ) παρὰ τὸ ὀδωδέναι.

1378. ἀπὸ τοῦ εἶμι τὸ εἶ. R. V.

1382. Ὀλυμπίασιν : Νῦν προπαροξύνεται. λέγει γὰρ περὶ τοῦ τόπου. [ἐὰν περὶ πράγματος ᾖ δηλοῦσα ἡ λέξις, οἷον ὡς εἴ λέγοι τις, δέκα Ὀλυμπιᾶσιν ἐφεξῆς ἐνίκησεν ὁ δεῖνα, προπερισπᾶται. γίνεται γὰρ τὸ μὲν ἀπὸ τοῦ Ὀλυμπία Ὀλυμπίασι, τὸ δὲ ἀπὸ τοῦ Ὀλυμπιὰς Ὀλυμπιᾶσι. καὶ ὅτι τὰ εἰς ι λήγοντα τῶν ἐπιρρημάτων ζητεῖ τὸν πρῶτον τοῦ ὀνόματος τόνον, οἷον Ὀλυμπιὰς Ὀλυμπιᾶσι, πλὴν τῶν διὰ τοῦ οθεν. ἐκεῖνα γὰρ ἐνήλλαξεν, οἷον ἵππος ἱππόθεν. σεσημείωται τὸ οἴκοθεν.] — ἄρχεται κατὰ τὰ προστάγματα τοῦ υἱοῦ σοφίζεσθαι. V.

1383. ἐπεὶ παρῄνεσεν αὐτῷ ὁ υἱὸς πρότερον διηγηματικὸς εἶναι. R. V.

1386. (ὑπώπια : Τὰ εἰς τὴν ὄψιν πλήγματα ἐνταῦθα. εἴρηται δ' ἐν ἄλλοις [ad Acharn. 551, Pac. 541] ἀκριβέστερον.)

1388. ἴθι μοι παράστηθ', ἀντιβολῶ : Γυνή τις ὑβρισμένη ὑπὸ τοῦ γέροντος δεῖται τοῦ υἱοῦ (βοηθῆσαι αὐτῇ. Δίδυμος δὲ ἀρτόπωλις λέγει). — γυνή τις πρὸς μάρτυρα. R.

1391. κἀπιθήκην : Τοὺς ἔξωθεν τοῦ φορτίου προσθήκην ὄντας.

1394. (λόγοι διαλλάξουσιν : Μιμεῖται τὰ εἰρημένα ὑπὸ τοῦ υἱοῦ.)

1396. (καταπροίξει : Οὐ μὴ καταφρονήσεις, παρὰ τὴν προῖκα. τουτέστιν οὐ δωρεάν μου ἐγχανῇ. καὶ τοῦτο δὲ ἐν ἄλλοις [ad Nub. 1240, Eq. 435].) — ὄνομα. R. V.

1397. (θυγατέρος : Ὅτι οὐκ Ἀττικῶς εἴρηται τὸ θυγατέρος, ἀλλ' Ἰωνικῶς. τὰ φορτία δὲ τοὺς ἄρτους.)

1402. γυνή. R.

1403. (ὦ κύον κύον : Τὴν ἀρτόπωλιν κύνα εἶπεν. ὑλακτούσης σου, φησὶν, οὐ φροντίζω, ὦ κύον. πυροὺς δὲ σίτους, ὥστε ἄρτους ποιῆσαι. ἐπεὶ ἀρτόπωλις.)

1407. (πρὸς τοὺς ἀγορανόμους : Τοὺς ἐπισκοποῦντας τὰ τῆς πόλεως ὤνια, καὶ διοικοῦντας αὐτὰ, ὡς ἐν Ἀχαρνεῦσιν [728].) — τοὺς τῶν ὠνίων προστάτας. V.

1408. (κλητῆρα : Μάρτυρα. τουτέστι τὸν εἰς τὸ δικαστήριον καλοῦντα ὑπηρέτην. Χαιρεφῶντα δὲ τὸν) πύξινον Σωκράτους ἑταῖρον (τὸν φιλόσοφόν φησι. πάλιν δ' αὐτὸν εἰς ὠχρότητα διαβάλλων εἰσάγει μαρτυροῦντα τῇ ἀρτοπώλιδι.)

1410. Ἑρμιονεὺς μελοποιὸς Λᾶσος. V. μελοποιὸς ὁ Λᾶσος. R.

1411. ἀντὶ τοῦ οὐδέν μοι μέλει τοῦ Σιμωνίδου. V.

1413. ἵν' ᾖ ὠχρᾷ, ὡς οἱ κεχρημένοι θάψῳ. εἰσήγαγε δὲ Εὐριπίδης τὴν Ἰνὼ ὠχρὰν ὑπὸ τῆς κακοπαθείας. καὶ ὁ Χαιρεφῶν δὲ τοιοῦτος ἄλλος ἔοικε θαψίᾳ. ὠχρὸς γὰρ ὁ Χαιρεφῶν καὶ ἡ θάψος τοιαύτη. ἀλλὰ καὶ παρὰ τὸ θάπτεσθαι καλῶς πέπαικται. V. [θαψίνη : Ὠχρᾷ. τοιαύτη γὰρ ἡ θάψος, ὅπερ παρ' ἡμῖν χρυσόξυλον λέγεται. Θεόκριτος [2, 88]

καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θαψῷ.

παρὰ δ' Εὐριπίδῃ γέγραπται ἡ Ἰνὼ κρεμαμένη καὶ ὠχρὰ ὑπὸ τῆς κακοπαθείας. πέπαικται δὲ καλῶς παρὰ τὸ θάπτεσθαι.]

1414. ἀντὶ τοῦ ὑπὸ Εὐριπίδου ἐκ τῶν ποδῶν ἡ Ἰνὼ κρέμαται. R. V.

1417. ὤμοι κακοδαίμων : (παραγίνεταί) τις ἀνὴρ Εὐριπίδης (ὠνομασμένος, κατηγορῶν τοῦ Φιλοκλέωνος ὕβρεως, καὶ κατήγορον ἐπαγόμενος).

1420. (οὐ τρίβων : Οὐκ ἔμπειρος. καὶ ἐν Νεφέλαις [869]

καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε.)

1431. Ἔρδοι τις : (Ἕκαστος, φησὶν, ἣν οἶδε τέχνην ἐργαζέσθω.) καὶ ταῦτα δὲ ἐν ταῖς παροιμίαις φέρεται.

(1432). εἰς τὰ Πιττάλου : Εἰς ἰατροῦ, [φησὶν, ἀπότρεχε] θεραπευθησόμενος τὰς πληγάς. ἰατρὸς γὰρ ὁ Πίτταλος.

1433. (ὅμοιά σου : Ὁ Βδελυκλέων ταῦτά φησι πρὸς τὸν κατήγορον.)

1434. (ἃ 'ν : Τὸ ἐντελὲς ἃ ἄν.)

1436. κατέαξ' ἐχῖνον : Χύτρας εἶδος ὁ ἐχῖνος. V. [ἄγγος τι χαλκοῦν, ἢ καὶ ἐκ κεράμου, εἰς ὃ καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν, ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐγκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν. τοῦ δ' ἄγγους τούτου καὶ Δημοσθένης μνημονεύουσι καὶ Ἀριστοτέλης. ἔστι δέ τι καὶ ζῷον χερσαῖον καὶ θαλάττιον ὄστρεον. καὶ μὲν δὴ καὶ ἡ γαστὴρ τοῦ βοός.]

1438. ναὶ τὰν Κόραν : (Τὴν Περσεφόνην.) [τουτέστι τὸν κόρον, τὴν πρὸς τὸ τρέφεσθαι μέχρι κόρου ὕλην. τοῖς δὲ περὶ Σικελίαν τὸ κατὰ Κόρης ὀμνύειν ἐνεφιλοχώρει. ἐντεῦθεν γὰρ ὁ Ἅδης αὐτὴν ἁρπάσαι μυθεύεται, ὡς οἱ τὰ τοιαῦτά γε ἀλληγορῆσαι δεινοὶ, διὰ τὸν γινόμενον ἐπὶ χρόνον τινὰ τῶν σπερμάτων κατὰ γῆς ἀφανισμόν.] δωρίζει δὲ ἐπίτηδες. [ἐπίδεσμον δὲ τὸν ἐπὶ τῇ πληγῇ δεσμόν.]

1440. (καὶ τὰ) ἕλκη ἐπέδησας. R. V.

1445. (κλητῆρες ἐπιλείψουσι : Ἐπιλείψουσι μάρτυρες τοὺς κατηγοροῦντας.)

1446. Αἴσωπον οἱ Δελφοί : (Ὁ μὲν Βδελυκλέων ἀράμενος τὸν πατέρα αὐτοῦ Φιλοκλέωνα, εἴσω κομίζει. ὁ δὲ φερόμενος πλάττει μῦθον. διηγεῖται γὰρ τὸν περὶ Αἰσώπου λόγον·) ὅν φασιν ἐλθόντα ποτὲ εἰς τοὺς Δελφοὺς ἀποσκῶψαι αὐτοὺς, ὅτι μὴ ἔχοιεν γῆν, ἀφ' ἧς ἐργαζόμενοι διατρέφοιντο, ἀλλὰ περιμένοιεν ἀπὸ τῶν θεοῦ θυμάτων διαζῆν. οἱ δὲ Δελφοὶ χαλεπήναντες φιάλην ἱερὰν τοῖς Αἰσώπου σκεύεσιν ὑπέβαλον. ὁ μὲν δὴ οὐκ εἰδὼς τὴν ἐς Φωκίδα φέρουσαν ὥρμησεν ὁδόν. οἱ δ' ἐπιδραμόντες, καὶ φωράσαντες, ἱεροσυλίας αὐτοῦ κατηγόρουν. ὁ δ' ἐπὶ πέτραν οὐ πάνυ πόρρω τοῦ ἱεροῦ καὶ τῆς πόλεως ἀγόμενος, ἀφ' ἧς νόμιμον ἦν τοὺς ἱεροσύλους ῥιπτεῖσθαι, τὸν περὶ τοῦ κανθάρου μῦθον αὐτοῖς διηγήσατο· οὗ γε καὶ ἐν Εἰρήνῃ [129] μέμνηται διὰ τούτων ὁ ποιητὴς

ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη
μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος.

ἐκεῖ δὲ τὰ εἰκότα λεχθήσεται.

1449. ὡς κάνθαρος ἀνῆλθεν ὡς καὶ ἐν Εἰρήνῃ. R.

1451. [ζηλῶ σε τῆς εὐτυχίας : Τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν. ἔστι γοῦν ἡ παροῦσα στροφὴ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις διτροχαίοις διιάμβοις δισπονδείοις ἰωνικοῖς καὶ παίωσι ιϛ΄. καὶ ἡ ἀντιστροφὴ τοσούτων, ὧν τὸ μὲν δεύτερον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς, τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα, τὰ μὲν τετρασυλλάβους ἔχοντα πόδας, τὰ δὲ πεντασυλλάβους. διαλύονται γὰρ αἱ μακραὶ συλλαβαὶ

ὥσπερ ἐπὶ τῶν ἰάμβων καὶ τροχαίων, ὡς εἴρηται, εἰς δύο βραχείας, οὕτω καὶ ἐπὶ τῶν τετρασυλλάβων ποδῶν. εὕρηται γὰρ καὶ χορίαμβος πεντασύλλαβος, καὶ δίαμβος, καὶ διτρόχαιος, καὶ ἰωνικὸς, καὶ παίων. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς.]

1455. (ἐπὶ τὸ τρυφερόν : Οἷον ἐπὶ τὸ τρυφᾶν μαλακῶς.) — μεταπείσεται τὸ τρυφᾶν καὶ μαλακὸν καὶ ἐπιμάλακον. V.

1460. (γνώμαις ἑτέρων : Οἷον, μεταπεισθέντες ἐκ παραινέσεως ἑτέρων.)

1465. (φιλοπατρίαν : Διὰ τὸ ὑπὲρ τῆς πατρίδος ἠγωνίσθαι, ἢ τοῦ πατρός.)

1467. (ἀγανῷ : Ἱλαρῷ, καλῷ κἀγαθῷ· οἱ δὲ ἀθανάτῳ. ἔνθεν καὶ ἀγανοφροσύνη, προσήνεια, πρᾳότης. Ὅμηρος [Il. B, 164] « σοῖς ἀγανοῖς ἐπέεσσιν. »)

1473. γρ. κατακηλῆσαι, ἵνα σημαίνῃ τὸ ἐξαπατῆσαι μεταπεισθέντας ἐπὶ τὸ βέλτιον. V.

1475. (εἰσκεκύκληκεν : Εἰσήνεγκεν, εἰσήγαγεν.)

1478. (οὐδὲν παύσεται : Ἀντὶ τοῦ οὐ παύσεται, ὡς παρ' Ὁμήρῳ [Il. A, 412] « ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν » ἀντὶ τοῦ οὐκ ἔτισεν.)

1479. (Θέσπις : Ὁ κιθαρῳδός. οὐ γὰρ δὴ ὁ τραγικός.)

1480. κρόνους : (Ἀρχαίους, μωρούς, λήρους, ἀναισθήτους.) — τὸν νοῦν πρὸς τὸν Κρόνον ἀποδείξειν ἀρχαίους τὴν ἐπίνοιαν. R. V.

1482. τίς ἐπαυλείοισιν : Ὀρχούμενος ὁ γέρων παρατραγικεύεται. σχήματος δὲ τοῦ τραγῳδικοῦ.

1487. τινὲς ἀπὸ τοῦ πλευρὰν λυγίσαντος Φιλοκλέωνα λέγειν ἕως τοῦ σφόνδυλος ἄχει. V.

(λυγίσαντος : Συστρέψαντος, περιαγαγόντος. ἢ μεταφορὰ ἀπὸ τῶν παλαιόντων.) [Θεόκριτος [1, 97]

τὺ θὴν τὸν ἔρωτα κατεύχεο Δάφνι λυγιξεῖν;
ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;]

1489. σφόνδυλος : Τράχηλος. *Vict.*

(σφόνδυλος : Ἴσως αἰσχρόν τι πεποίηκε.

πῖθ' ἐλλέβορον : Ἐπισημειοῦται τὴν λέξιν κἀνταῦθα τὸ χ, ὅτι τὸ μὲν πῖθι ἐπὶ φαρμάκου λέγουσι. καὶ

λαγὼν ταράξας πῖθι τὸν θαλάσσιον.

τὸ δὲ πίε ἐπὶ τοῦ ποτοῦ. ἐκ δὲ τοῦ ἐλλεβόρου καὶ ἐλλεβοριᾶν, τὸ ἐλλεβόρου δεῖσθαι, ὡς Καλλίας φησὶ, καὶ ἐλλεβορίζειν.)

1490. πτήσσει Φρύνιχος : Παροιμία ἐπὶ τῶν κακόν τι πασχόντων, ἀπὸ Φρυνίχου τοῦ τραγικοῦ. ὑποκρινόμενον γὰρ αὐτὸν τὴν Μιλήτου ἅλωσιν οἱ Ἀθηναῖοι δακρύσαντες ἐξέβαλον δεδοικότα καὶ ὑποπτήσσοντα. [πτήσσειν δὲ κυρίως τὸ φεύγειν καὶ φοβεῖσθαι. λέγεται δ' ἐπὶ τῶν ὀρνίθων.]

1491. τάχα βαλλήσεις : (Ῥίψεις, λίθους δηλονότι, ὀρχούμενος.) — ἀντὶ τοῦ βληθήσῃ, νικηθήσῃ. R.

1492. σκέλος : Ὑψηλὴν φοράν. R. V. καὶ παρ' Εὐπόλιδι ἐκλακτίζειν. V.

(σκέλος οὐράνιον : Ὡς αὐτοῦ ἐπάραντος τὸ σκέλος καὶ ἐπιδείξαντος τὸν πρωκτόν.) — εἰς ὕψος. R.

1495. (κοτυληδών : Εὐκίνητος ἡ κοτύλη μου στρέφεται.)

1497. ἀλλὰ μανικὰ πράγματα : Εἰπόντος αὐτοῦ ὅτι νῦν δὴ ἐκλέλυμαι, χαλαρᾶς γενομένης τῆς κοτύλης, ἐπάγει ὁ παῖς ὅτι οὐκ ἐκλύσεως, ἀλλὰ μανίας ἐστὶ πράγματα.

1499. ἀντὶ τοῦ εἰς ὄρχησιν ἀγωνισάμενος. V.

1502. (ὁ μέσατος : Οὐ τὸν τραγικὸν λέγει Μέσατον. Ἄλλως. ἀντὶ τοῦ μέσος, καὶ Μένανδρος Καρχηδονίῳ. ἀκριβῶς δὲ ἔοικε λέγειν. τέσσαρες μὲν δή εἰσιν· ἀλλ' οἱ τρεῖς χορευταὶ, Ξενοκλῆς δὲ ποιητής. καταλέγει αὐτοὺς σαφῶς Φερεκράτης. τῶν τριῶν οὖν μέσος.)

1503. (ἐμμελείᾳ κονδύλου : Ἐμμέλεια τραγικὴ ὄρχησις. ὡς εἰ ἔλεγεν ἐμμέλεια ᾠδῆς· εἶπε δὲ κονδύλου. δίδωμι αὐτῷ, φησὶ, κόνδυλον, καὶ ἀπολῶ αὐτόν. μικρὸς γάρ ἐστι καὶ λεπτός.)

1504. (ἐν τῷ ῥυθμῷ γάρ : Ἀντὶ τοῦ οὐδὲν οἶδε τοῦ ῥυθμοῦ. Καρκινίτης δὲ υἱὸς Καρκίνου. ὠψώνηκα δὲ εἶπεν, ὡς ὀψοφάγον αὐτὸν διαβάλλων.)

(1507) πλήν γε Καρκίνους : Παρὰ τοὺς καρκίνους τοὺς [λεγομένους] παγούρους.

1508. καὶ ὁ ποιητὴς αὐτῷ. V.

1509. (ὀξὶς ἢ φάλαγξ : Εἶδος ἀγγείου ὀξηροῦ ἢ ὀξίς. Ἄλλως. εἰς σμικρὸν τὸν Ξενοκλέα. καὶ τὸ φαλάγγιον μικρὸν καὶ συνεστραμμένον. δῆλον δὲ ἐκ τῶν Φερεκράτους Ἀγρίων « καὶ καρκίνος μέν τις ἦν ὁ Θωρυκίου « υἱός. ἦσαν δὲ αὐτῷ τρεῖς τινες μικροὶ, κομῆται τότε « καὶ νῦν εἰσὶ μικροὶ καὶ κομῆται. φίλαρχοι τότε παῖδες « ἦσαν ὄντες νῦν φιλαρχικώτεροι. μὰ τὸν Δί' οὐ τρεῖς « τε ἐκεῖνοί εἰσιν οἱ τέτταρες. »)

1510. ὁ πιννοτήρης : Περὶ Ξενοκλέους ὁ λόγος. διαβάλλει αὐτὸν ὡς ἀδηφάγον. (πιννοτήρης δὲ οὐκ ἄλλως, ἀλλ' ἐπεὶ καρκίνιόν τί ἐστι σύννομον καὶ ἀεὶ ταύτῃ προσδεχόμενον. Σοφοκλῆς Ἀμφιαράῳ

ὁ πιννοτήρης τοῦδε μάντεως χοροῦ.

Ἄλλως.) πίννα ὄστρεόν ἐστι. (τοῦτο ὑποδέχεται καρκίνος· καὶ ὅταν εἰσέλθῃ μικρὸν ἰχθύδιον, δάκνει τὴν πίνναν, καὶ συστέλλει τὸ ὄστρακον, καὶ ἐναποκλείει τὸ ἰχθύδιον. — Ἄλλως. οἱ μὲν ζῷόν τι λέγουσι σύννομον τῷ καρκίνῳ τὸν πιννοτήρην, οἱ δὲ αὐτὸν τὸν καρκίνον, ὡς ἐπιτηροῦντα τὴν πίνναν. φασὶ γὰρ ὅτι ἡ μὲν πίννα πρὸς τὰς ἀκτῖνας πεσοῦσα τοῦ ἡλίου ἀνοίγνυσι τὸ ὄστρακον καὶ τὴν θέρμην εἰσδέχεται, ὁ δὲ ἐπιτηρῶν εἰσέρχεται καὶ δάκνει αὐτὴν, ἡ δὲ συστέλλει τὸ ὄστρακον καὶ βιβρώσκεται ὑπ' αὐτοῦ.)

1513. τῶν ὀρχίλων : Ὀρχίλος εἶδος ὀρνέου μικροῦ. ἐκ τούτου δ' αὐτῶν ὑπεμφαίνει τὸ βραχὺ καὶ κατωφερές. (ἅμα μὲν πρὸς τὴν λαγνείαν, ἅμα δὲ καὶ πρὸς τὴν ὄρχησιν. ἐμφαίνει δὲ αὐτοὺς καὶ μεγάλα αἰδοῖα ἔχοντας.)

1515. ἅλμην κύκα : Ὡς πρὸς ἰχθῦς ὁ λόγος· ὅτι ἅλμη, ὅτι πάντως ζωμός. καὶ τοῦτο πρὸς τὸ πολυφάγον αὐτῶν. ἵνα γὰρ τὰ κρέα μὴ σήπηται μένοντα, πάττεται τῇ

ἅλμη. (Ἄλλως. ἐπειδὴ ἅλμην παρασκευάζουσιν ἐπὶ τῷ φαγεῖν ἰχθύδια, ἢ καρκίνους. ὡς καρκίνοις οὖν αὐτοῖς χρώμενός φησιν, ὅτι παρασκεύασον ἅλμην, ἵνα ἐὰν αὐτοὺς νικήσω, ὀπτήσω αὐτοὺς καὶ φάγω.)

1516. ἐπ' ὀλίγον συσταλῶμεν. R.

1517. βεμβικίζωσιν : (Διακινήσωσιν. ὡς καρκίνοις δ' ὁ χορὸς αὐτοῖς διαλέγεται.) — περιάγωσιν. R.

1524. (καὶ τὸ Φρυνίχειον : Δῆλον ὡς σημειῶδές τι ἦν τὸ Φρυνίχειον, τὸ εἰς ὕψος ἐν τῇ ὀρχήσει ἐκλακτίζειν.) — καὶ οὐκ ἄλλως αὐτὸ Εὔπολις εἶπεν. V.[τὸ δὲ ὤζωσιν ἀντὶ τοῦ θαυμαστικόν τι λέγωσι. σύνθετον δέ ἐστιν ὡς τὸ οἰμώζειν καὶ κλώζειν, ἀπὸ τοῦ ω θαυμαστικοῦ.] — τὸ δὲ ὤζειν τῶν παρηγμένων ἐστὶν ὦ λέγειν, καὶ τὸ οἰμώζειν καὶ κλώζειν. ἐπίφθεγμα θαυμαστικὸν λέγωσιν οἱ θεαταί, ὡς παρὰ τὸ οἴμοι οἰμώζω. V.

1529. πλῆξον σεαυτὸν εἰς τὴν γαστέρα, ὃ ποιοῦσι πηδῶντες. V.

1530. ῥῖπτε σκέλος : Εὐφρόνιος οὕτω φησὶν ὀνομάζεσθαι σχῆμά τι τραγικῆς ὀρχήσεως. (βέμβικες δὲ περιφοραί, περιαγωγαί.)

1531. (καὐτὸς γὰρ : Ὁ Καρκίνος, φησί, προσέρχεται. πρὸς τοῦτο γὰρ καὶ τὸ Ποντομέδων.)

1534. τοῖσι τριόρχαις : (Ἔπαιξε διὰ τὸ τρεῖς εἶναι. ἔστι δὲ ὁ τριόρχης ὄρνεον.)

1535. (ἐξάγετ', εἴ τι φιλεῖτε : Ἐξάγετε, φησίν, ἑαυτοὺς ἔξω.) — εὐχερῶς δέ, ὡς ἐν τέλει, τὴν ἔξοδον τῶν προσώπων βούλεται ποιῆσαι. V.

1536. (οὐδείς πω πάρος : Εἰσέρχεται γὰρ ὁ χορὸς ὀρχούμενος, οὐδαμῶς δὲ ἐξέρχεται.)